

ΑΛΔΟΥ ΜΑΝΟΥΤΙΟΥ ΡΩΜΑΙΟΥ

ΓΡΑΜΜΑΤΙΚΗ.

Γράμματα, ἤτοι στοιχεῖα, ἐστὶν εἴκοσι πρὸς τοῖς τέτταρσιν α. β. γ. δ. ε. ζ. η. θ. ι. κ. λ. μ. ν. ξ. ο. π. ρ. σ. τ. υ. φ. χ. ψ. ω. τούτων φωνήεντα μὲν ἑπτὰ, α. ε. η. ι. υ. ο. ω. σύμφωνα δὲ, τὰ λοιπὰ, ἅπερ ἐστὶ τὸν ἑπτακαίδεκα τὸν ἀριθμὸν, β. γ. δ. ζ. θ. κ. λ. μ. ν. ξ. π. ρ. σ. τ. φ. χ. ψ. Τῶν δὲ φωνηέντων, μακρὰ μὲν, ἐστὶ δύο, η. ω. βραχέα δὲ, δύο, ε. ο. Δίχρονα δὲ, τρία, α. ι. υ. Ἐξ ὧν δίφθογγοι, κυρίως μὲν, ἕξ. αι. αυ. ει. ευ. οι. ου. Καταχρηστικῶς δὲ, ἕξ. ᾳ. ῃ. ῳ. υι. ηυ. ωυ. Τῶν δὲ συμφώνων, τὰ μὲν ἡμίφωνα. ζ. ξ. ψ. λ. μ. ν. ρ. σ. ὧν διπλᾶ μὲν, ζ. ξ. ψ. Ἀμετάβολα δὲ, ἃ καὶ ὑγρὰ λέγεται, λ. μ. ν. ρ. τὰ δὲ ἄφωνα, β. γ. δ. κ. π. τ. θ. φ. χ. ὧν ψιλὰ μὲν, κ. π. τ. δασέα δὲ, θ. φ. χ. μέσα δὲ, β. γ. δ. Ἀντιστοιχεῖ δὲ ταῦτα ἀλλήλοις. τὸ μὲν γὰρ φ. τῷ π. τὸ δὲ χ, τῷ κ. τὸ δὲ θ, τῷ τ. καὶ ἀνάπαλιν. καὶ ἔστι τὸ μὲν β, μέσον τοῦ π, καὶ φ. τὸ δὲ γ, μέσον τοῦ κ, καὶ χ, τὸ δὲ δ, μέσον τοῦ θ, καὶ τ. τὰ δὲ προειρημένα τὰ δὲ γράμματα οὕτως κιρνώμενα, τὰς συλλαβὰς ἀποτελεῖ, ὅθεν αἱ λέξεις· ἐξ ὧν ὁ λόγος.

Περὶ συλλαβῆς.

Συλλαβὴ μὲν γάρ, ἐστι συνέλευσις τοὐλάχιστον δύο γραμμάτων, πρώτως δ' ὑποκείμενον προσῳδίας. λέγεται μέντοι καταχρηστικῶς, καὶ τὸ μονογράμματον συλλαβή. οἷον, α. ε. Γίνεται δὲ πολλαχῶς κατὰ λόγον τῶν πολλῶν τε, καὶ διαφόρων ἐπιπλοκῶν τῶν γραμμάτων. Διαιρεῖται δὲ ἡ συλλαβὴ εἰς μακρὰν, εἰς βραχεῖαν, εἰς κοινήν.

Περὶ μακρᾶς συλλαβῆς.

Μακρὰ μέν, ἐστιν ἡ ἔχουσα μακρὸν φωνῆεν, ἢ μίαν τινὰ τῶν διφθόγγων. Αἱ γάρ τοι δίφθογγοι πᾶσαι μακραί εἰσιν. Γίνεται δὲ μακρὰ ἡ συλλαβὴ, ἤτοι φύσει, ἢ θέσει, φύσει μὲν, τετραχῶς, ἤτοι γὰρ φθόγγῳ

μακροῦ φωνήεντος· οἷον, ἥρως. ἢ ἐκτάσει διχρόνου· οἷον, λαός. χρυσός. ἢ διφθόγγῳ· οἷον, αἴτιος. αἰνείου. Θέσει δὲ, μοναχῶς· δυοῖν ἐπιφερομένοιν συμφώνοιν. ἤτοι ἐνεργείᾳ, ἄρτος. ἢ δυνάμει. ἄξω. τύψω. ἢ μᾶλλον θέσει, πενταχῶς, ὅταν, ἤτοι εἰς σύμφωνον λήγῃ, καὶ τὴν ἑξῆς ἔχῃ ἀπὸ συμφώνου ἀρχομένην· οἷον, ἔργον. ἢ μετὰ τὸ φύσει βραχὺ φωνῆεν, ἑτέρα τις συλλαβὴ ἀπὸ δύο συμφώνων, ἢ διπλοῦ ἀρχομένη ἐπιφέρηται· οἷον, ἀγρός. ὄξος. ἢ εἰς δύο σύμφωνα, ἢ εἰς ἓν διπλοῦν λήγῃ, ἅλς, ὤψ.

Περὶ βραχείας συλλαβῆς.

Βραχεῖα δὲ, ἡ ἔχουσα ἤτοι φύσει βραχὺ φωνῆεν· οἷον λόγος, σθένος. ἢ δίχρονον συστελλόμενον· μοῦσα, φιλία, γυνή.

Περὶ κοινῆς συλλαβῆς.

Κοινὴ δὲ, ἡ δυναμένη μακρά τε λαμβάνεσθαι, καὶ βραχεῖα, τετραχῶς δὲ τὸ τοιοῦτο. ὅταν, ἤτοι εἰς φωνῆεν μακρὸν, ἢ δίφθογγον λήγουσα, εἰς μέρος λόγου καταπεραιοῖ, εἶτα τὴν ἑξῆς ἔχῃ ἀπὸ φωνήεντος ἀρχομένην, ἐν μὲν γὰρ τῷ·

Οὔτι μοι αἰτίη ἐσσί· θεοί νύ μοι αἴτιοί εἰσιν. Ἰλιάδος γ.

Τό, τε η βραχὺ ἅπαξ, καὶ ἡ οι δίφθογγος βραχεῖα τρεῖς, ἑπομένου φωνήεντος. αἰτίη — υ υ. οὔτι μοι — υ υ. οἱ νύ μοι — υ υ. αἴτιοι — υ υ τέσσαρες δάκτυλοί εἰσιν, ἡ βραχεῖα οὖσα, καταπεραιοῖ εἰς μέρος λόγου, εἶτα τὴν ἑξῆς ἔχῃ ἀπὸ φωνήεντος ἀρχομένην. ἐν μὲν (γὰρ τῷ·

Αὐτὰρ ἐπεὶ Δαναῶν γένετο ἰαχή τε, θρόος τε.

Ἰλιάδος. τὸ ο μικρὸν ἐπὶ τέλους λέξεως ὂν, ἑπομένου φωνήεντος μακρόν ἐστι. τοῖα — υ υ δάκτυλος, καὶ ἐν τῷ·

Οἱ δὲ μέγα ἰάχοντες, ἐπέδραμον υἷες Ἀχαιῶν.

Τὸ α, Ἰλιάδος ξ. γαῖα δάκτυλος· ἔτι ἐν τῷ·

Νέστορα δ' οὐκ ἔλαθεν ἰαχὴ πίνοντά περ ἔμπης. Τὸ ε ψιλὸν μετὰ τοῦ ν συμφώνου εἰς μέρος λόγου ἑπομένου φωνήεντος καταπεραιοῦν, Ἰλιάδος ξ. Νέστορα — υ υ δάκτυλος. ἐν δὲ Ὀδυσσείας β. Ἀντίνο' ἦ πέρ μοι καὶ ἀγάσεαι ὅττι κεν εἴπω. Τό, τε ο μικρὸν βραχὺ τηρεῖται ἐπὶ τέλους λέξεως ἑπομένου φωνήεντος, καὶ τὸ ε ψιλὸν μετὰ τοῦ ν. Ἀντίνο — υ υ ὅ[illegible] — υ υ δύο δάκτυλοι. Ἢ βραχεῖ φωνήεντι, ἢ διχρόνῳ κατὰ συστολὴν παραλαμβανομένῳ, δύο σύμφωνα ἐπιφέρηται, ὧν τὸ μὲν ἡγούμενον ᾖ ἄφωνον. τὸ δ' ἑπόμενον ὑγρόν.

Ἔστι μὲν ἐν τῷ ο μακρὸν Ἰλιάδος π.

Ἀλλὰ καὶ ὡς Πάτροκλε νεῶν ἄπο λοιγὸν ἀμύνων.

Τρόκλενε, δάκτυλος, βραχὺ δὲ Ἰλιάδος τ.

Πάτροκλέ μοι δειλῇ πλεῖστον κεχαρισμένε θυμῷ.

Πάτροκλε — υ υ δάκτυλος. Ἔτι τὸ υ ψιλὸν, μακρόν ἐστι παρὰ Θεοκρίτῳ ἐν κύκλωπι.

Ὦ κύκλωψ, κύκλωψ, πᾷ τὰς φρένας ἐκπεπότασαι.

Ὦ κύ — — κλωψ, κύ — — δύο σπονδεῖοι. ἐν τῷ αὐτῷ δὲ βραχύ.

Οὕτω τοι ῥᾷστα διᾶγ' ὁ κύκλωψ ὁ παρ' ἡμῖν.

Ἀρχαῖος Πολύφαμος, ὅκ' ἤρατο τῆς Γαλατείας.

ᾶγ ὁ κύ — υ υ δάκτυλος. Ἐπειδὴ δὲ ἡ συλλαβὴ ὑποκείμενόν ἐστι προσῳδίας. ἔχει γὰρ πρὸς τῷ ἀριθμῷ τόνον τε, καὶ πνεῦμα, καὶ χρόνον ἑπόμενα. ἅτινα προσῳδίαι εἰσίν. ἀναγκαῖόν ἐστιν ἐνταῦθα περὶ προσῳδιῶν εἰπεῖν.

Περὶ προσῳδιῶν.

Προσῳδία μὲν οὖν ἐστι νόμος ποιός τις, καὶ κανὼν πρὸς τὸ αἴρειν, καὶ τιθέναι τὴν συλλαβὴν οὑτινοσοῦν μέρους τοῦ λόγου, ἢ προσῳδία ἐστὶ τάσις ποιά τις φωνῆς ἐγγραμμάτου πρὸς εὐφωνίαν τοῦ ὅλου λόγου. παρὰ τὴν πρὸς πρόσθεσιν, καὶ τὸ ᾠδὴ λεγομένη. Εἰσὶ δὲ προσῳδίαι δέκα. Ὀξεῖα, ´. βαρεῖα, `. περισπωμένη, ^. Μακρὰ, ¯. βραχεῖα, ˘. Δασεῖα, ⊢ ‛. Ψιλή, ⊣ ’. Ἀπόστροφος, ’. Ὑφέν. ‿ καὶ ὑποδιαστολή, :

Περὶ διαιρέσεως προσῳδιῶν.

Διαιροῦνται δέ τοι αἱ δέκα προσῳδίαι εἰς τέσσαρα. εἰς τόνον. εἰς χρόνον. εἰς πνεῦμα. εἰς πάθος.

Περὶ τόνου.

Τόνος μέν ἐστιν ἐπίτασις, ἢ ἄνεσις, ἢ μεσότης συλλαβῶν εὐφωνίαν ἔχουσα. ἡ μὲν γὰρ ὀξεῖα τὸ ἐπιτεταμένον ἔχει τοῦ φθόγγου. ἡ δὲ βαρεῖα, τὸ ἀνειμένον. ἡ δὲ περισπωμένη, τὸ μέσον. εἰσὶ δὲ τόνοι τρεῖς, ὀξεῖα ´ βαρεῖα ` περισπωμένη, ^. ὧν γ' ἕνα μόνον πᾶσα λέξις ἐπιδέχεται, ἤτοι ἐν τῇ ληγούσῃ, ἢ παραληγούσῃ, ἢ προπαραληγούσῃ. πρὸ γάρ τοι τριῶν

συλλαβῶν, τόνος οὐ τίθεται. εἰσὶ μὲν τόποι τῆς ὀξείας, τρεῖς. ἡ λήγουσα. ἡ παραλήγουσα. ἡ προπαραλήγουσα. καὶ τὸ μὲν ἐπὶ τῆς ληγούσης ἔχον τὴν ὀξεῖαν, καλεῖται ὀξύτονον. οἷον ἀγαθός. τὸ δὲ ἐπὶ τῆς παραληγούσης, παροξύτονον, καὶ βαρύτονον. οἷον, λόγος. τὸ δὲ ἐπὶ τῆς προπαραληγούσης, προπαροξύτονον, καὶ βαρύτονον. οἷον, δίκαιος. τῆς δὲ βαρείας τόποι, πᾶσαι, αἱ ὁμαλῶς ἀναγινωσκόμεναι συλλαβαί. διὸ καὶ συλλαβικὸς ὀνομάζεται τόνος. τίθεται μέντοι οὐκ ἐπὶ πασῶν. ἀλλ' ἐπὶ μόνον, τῶν ὀξυτονουμένων. ὅταν κατὰ συνέπειαν ἀναγινώσκομεν ὁμαλῆ. οἷον, τὸν ἐπὶ τὸν ἄρχοντα, τῆς δὲ περισπωμένης τόποι, δύο. ἡ λήγουσα, καὶ ἡ παραλήγουσα, καὶ τὸ μὲν ἐπὶ τῆς ληγούσης ἔχον τὴν περισπωμένην, καλεῖται, περισπώμενον. οἷον, ποιῶ. τὸ δὲ ἐπὶ τῆς παραληγούσης, προπερισπώμενον, καὶ βαρύτονον. οἷον, ἀξιοῦμαι. ἡ μὲν οὖν λήγουσα, ἐπιδέχεται ὀξεῖάν τε, καὶ βαρεῖαν, καὶ περισπωμένην. ὀξεῖαν μέντοι, ἢ βαρεῖαν ἀντὶ ὀξείας, ἐν τῇ συνεπείᾳ ὅταν ἐφ' ἑαυτῆς ἔχουσα τὸν τόνον ἀσυναίρετος ᾖ, οἷον ποιητής. ἐλαιών. τυφθείς. διδούς. αἴξ. θησεύς, βοός. ἀληθές. ἀργός. ἀμαρυλλίς. ὀξύς. καὶ βραχεῖα μὲν οὖσα ἀεί. (ἐπάνω γάρτοι βραχείας, περισπωμένη οὐ τίθεται.) μακρὰ δὲ, οὐκ ἀεί. περισπωμένην δὲ ὅταν ἐφ' ἑαυτῆς ἔχουσα τὸν τόνον. ἐκ συναιρέσεως ᾖ. οἷον ἀπὸ τῶν φάος. ὄαος. βοάεις. ποιέεις. ἀσυναιρέτων, φῶς. ὡς βοᾷς. ποιεῖς. πᾶσα γὰρ συναίρεσις, ἐξ ὀξείας, καὶ βαρείας περισπωμένην ποιεῖ. ἡ δὲ παραλήγουσα ὀξεῖάν τε, καὶ περισπωμένην. ὀξεῖαν μὲν ἀεὶ, ὅταν ἐφ' ἑαυτῆς ἔχουσα τὸν τόνον, ἢ αὐτή τε βραχεῖα ᾖ, καὶ ἡ λήγουσα. λόγος. ἢ αὐτή τε μακρά. καὶ ἡ λήγουσα ἥρως. μακρὰ γὰρ πρὸ μακρᾶς οὐ περισπᾶται, πλὴν τῶν τὰς αι καὶ οι διφθόγγους ἐχόντων ἐπὶ τέλους καθαράς. μοῦσαι γὰρ καὶ ῥωμαῖοι, περισπῶνται. περί γε μὴν τούτων πλείω ἄττα λεξόμεθα ἐπὶ τῆς κλίσεως τῶν εἰς ας ἀρσενικῶν ὀνομάτων. ἢ αὐτὴ μὲν βραχεῖα, ἡ λήγουσα δὲ μακρά. ὅρως. περισπωμένην δὲ, ὅταν αὐτή τε ᾖ φύσει μακρά. καὶ ἡ λήγουσα, ἤτοι φύσει βραχεῖα. δῆμος, ἢ ἔχουσα τὰς αι, καὶ οι διφθόγγους καθαράς. μοῦσαι. δῆμοι. ἐπὶ γὰρ θέσει μακρᾶς περισπωμένη οὐ τίθεται. διὸ καὶ λέγεται. ὅτι πᾶσα φύσει μακρὰ πρὸ βραχείας ληκτικῆς, ἐν ἑνὶ μέρει λόγου οὖσα, καὶ ἐφ' ἑαυτῆς ἔχουσα τὸν τόνον, περισπᾶται. ἡ δὲ προπαραλήγουσα, ἐφ' ἑαυτῆς ἔχουσα τὸν τόνον, ὀξεῖαν ἀεί. (πρὸ γάρτοι δυοῖν συλλαβῶν περισπωμένη οὐ τίθεται) ἥρωας. ἄνθρωπος. ἐὰν μὴ ἡ λήγουσα μακρὰ οὖσα, κωλύῃ. μακρᾶς γὰρ οὔσης ἐπὶ τέλους, οὐ δύναται προπαροξυνθῆναι ἡ προπαραλήγουσα. ἄνθρωπος γὰρ, ἀνθρώπου, ἀνθρώπῳ, ἀνθρώποιν, ἀνθρώπων, ἀνθρώποις, ἀνθρώπους. ἐὰν μὴ τὰς αι, καὶ οι διφθόγγους ἔχῃ καθαράς. τύπτουσαι γὰρ ἄνθρωποι ἢ ἡ ἀττική. μενέλεως γὰρ μενέλεω. μενέλεων. μενέλεως προπαροξυτόνως.

Σημειωτέοι μὲν οὖν οὗτοι οἱ κανόνες μικρῷ πρότερον εἰρημένοι.

Πρὸ τριῶν συλλαβῶν οὐδεὶς τῶν τόνων τίθεται.

Ἐπάνω βραχείας περισπωμένη οὐ τίθεται.

Πᾶσα συναίρεσις ἐξ ὀξείας, καὶ βαρείας περισπωμένην ποιεῖ.

Μακρὰ πρὸ μακρᾶς, οὐ περισπᾶται.

Πρὸ δυοῖν συλλαβῶν, περισπωμένη. οὐ τίθεται.

Μακρᾶς οὔσης τῆς ληκτικῆς, οὐ δύναται προπαροξυνθῆναι ἡ προπαραλήγουσα.

Ἐπάνω θέσει μακρᾶς περισπωμένη οὐ τίθεται.

Πᾶσα φύσει μακρὰ πρὸ βραχείας ληκτικῆς, ἐν ἑνὶ μέρει λόγου οὖσα καὶ ἐφ' ἑαυτῆς ἔχουσα τὸν τόνον, περισπᾶται.

Περὶ χρόνου.

Χρόνος δὲ, ἔκτασις, ἢ συστολὴ φωνήεντος. εἰσὶ δὲ χρόνοι δύο. ἡ μακρά. — καὶ ἡ βραχεῖα. υ. ἐκτείνεται μὲν γὰρ τὸ φωνῆεν τῇ μακρᾷ. συστέλλεται δὲ τῇ βραχείᾳ. χρόνοι δὲ αὗται, καλοῦνται. ὅτι ἐπὶ τῶν φωνηέντων τιθέμεναι θάτερον ἐμποιοῦσι τοῖν χρόνοιν. χρῆσις δὲ αὐτῶν μόνον ἐν τοῖς ἐμμέτροις ἐπὶ τῶν ἀμφιβαλλομένων φωνηέντων. καὶ δυνάμει ἀμφότερα ὄντων. ἤγουν ἐπί τε τῶν καλουμένων διχρόνων καὶ τῶν βραχέων φωνηέντων ε, καὶ ο. ὅταν αὐτοῖς δύο σύμφωνα ἐπιφέρηται. ὧν τὸ μὲν πρῶτον ᾖ ἄφωνον. τὸ δὲ δεύτερον, ὑγρόν. οἷον ἐπὶ τοῦ α ἐν τῷ ἀπόλλων. καὶ ἐν τῷ ἄρες παρ' ὁμήρῳ ἐν μὲν γὰρ τῷ ἰλιάδος α.

Στέμματ' ἔχων ἐν χερσὶν ἑκηβόλου ἀπόλλωνος.

ἐκτείνεται, ἀπολ γὰρ σπονδεῖος. ἐν δὲ τῷ.

Ὣς ἔφατ' εὐχόμενος. τοῦ δ' ἔκλυε φοῖβος ἀπόλλων,

συστέλλεται, φοῖβος ἀ— υ υ γὰρ δάκτυλος. ἔτι ἐν τῷ

Ἄρες ἄρες βροτολοιγὲ. μιαιφόνε. τειχεσιπλῆτα. Τὸ πρῶτον μὲν α ἐν τῷ, ἄρες ἄρες, ἐκτείνεται. τὸ δὲ δεύτερον, συστέλλεται, ἄρες ἀ— υ υ γὰρ δάκτυλος. παρὰ δὲ τοῖς παλαιοτάτοις, μήπω τοῦ η καὶ τοῦ ω εὑρεθέντων.

ἐτίθεντο, οἶμαι, ἐπὶ πάντων τῶν φωνηέντων. ὧδε,

Μῆνιν ἄειδε θεὰ πηληϊάδεω ἀχιλῆος.

Νῦν δὲ ἐπὶ μὲν τοῦ ε, καὶ ο ψιλά. τὸ γὰρ η. καὶ ω μεταλαμβάνοντες, καὶ διπλασιάζοντες γράφομεν. ἔστι μὲν γὰρ τὸ η διπλοῦν εε. τὸ δὲ ω, διπλοῦν οο.

Περὶ πνεύματος.

Πνεῦμα δέ ἐστι ποιότης προσπνευστικὴ συμφώνων. εἰσὶ δὲ πνεύματα δύο, ἡ δασεῖα, καὶ ἡ ψιλή. τῇ μὲν γὰρ δασείᾳ τὸ ψιλὸν τρέπεται εἰς τὸ δασὺ ἐν τῇ συνθέσει. ἀπὸ ἕν. ὑφ᾽ ἕν. κατὰ ἡγεμών. καθηγεμών. τῇ ψιλῇ δὲ, φυλάττεται ψιλόν. οἷον ἐπὶ πρώτου, ἐπιπρώτου. τίθενται δὲ κατ᾽ ἀρχὰς τῶν λέξεων ἐπὶ τῶν φωνηέντων. ἕκαστον γάρ τοι τῶν φωνηέντων ἀρχικὸν ὄν, ἢ δασύνεται ἢ ψιλοῦται. οἷον, ἄνθρωπος, ὅμηρος. ἐπὶ τίνων δὲ πότερον, ἔσται ἄλλος λόγος. τῶν δὲ συμφώνων μόνον ἐπάνω τοῦ ρ. ἐν ἀρχῇ λέξεως ὄντος. οἷον, ῥῆμα. ῥεῖν. δασύνεται δὲ καὶ ἐὰν διπλοῦν γένηται ἐν μέσῳ λέξεως. οὐκ ἄμφω μέν τοι. ἀλλὰ τὸ μὲν πρῶτον, ψιλοῦται. τὸ δὲ δεύτερον, δασύνεται. πύῤῥος. ἐπίῤῥημα.

Περὶ πάθους.

Πάθος δέ ἐστι ποιότης φωνῆς πεπονθυίας ἤτοι δι᾽ ἀφαίρεσιν φωνήεντος. ἢ διὰ σύνθεσιν λέξεως. ἢ δι᾽ ἀποδιαστολήν. ἔστι δὲ πάθη τρία. ἡ ἀπόστροφος. ἡ ὑφέν. ἡ ἀποδιαστολή. τόπος τῆς μὲν ἀποστρόφου, ἔνθα τι ἐκθλίβεται. ἔστι γὰρ σημεῖον ἐκθλίψεως, ἤτοι ἑνὸς φωνήεντος. οἷον, τοῦτ᾽ ἔστιν. ἀντὶ τοῦ τοῦτό ἐστιν. ἢ δυοῖν. οἷον, βούλομ᾽ ἐγώ. ἀντὶ τοῦ, βούλομαι ἐγώ. τίθεται δὲ ἡ ἀπόστροφος ἀντὶ τεσσάρων φωνηέντων. ἀντὶ βραχέος α. οἷον, ἄρα οὗτος, ἄρ᾽ οὗτος. ἀντὶ ο μικροῦ. οἷον, τοῦτο ἐμόν. τοῦτ᾽ ἐμόν. ἀντὶ βραχέος ι. οἷον, ἐπὶ ἡμῖν. ἐφ᾽ ἡμῖν. ἀντὶ ε ψιλοῦ. οἷον φέρε. εἰπέ. φέρ᾽ εἰπέ. παρὰ ποιηταῖς δὲ, καὶ ἀντὶ τῆς αι, καὶ οι διφθόγγων. οἷον, βούλομαι ἐγώ. βούλομ᾽ ἐγώ. καὶ οἴμοι, ὡς ἄχθομαι. οἴμ᾽ ὡς ἄχθομαι. τῆς δὲ ὑφέν. ἀπὸ δυοῖν λέξεων φύσει διῃρημένων. οἷον, τὴν ἀρχήν. τὸ πρῶτον. ἢ ἀπὸ τοῖς ἐκ δυοῖν τινῶν, ἢ καὶ πλειόνων συνθέτοις. οἷον, πασιμέλουσα. ἔστι γὰρ σημεῖον συναφείας λέξεων. τῆς δὲ ὑποδιαστολῆς, ὑφ᾽ ἃ τῶν συντιθεμένων διάκρισίν τινα δεῖ ἐμποιεῖν. οἷον, ὅτε τό, τε. ἔστι γὰρ σημεῖον διαστάσεως λέξεων.

Περὶ λέξεως.

Λέξις δέ ἐστι μέρος ἐλάχιστον, τοῦ κατὰ σύνταξιν λόγου. ἣ δέ γε συνίστησι, ἤτοι μία τις συλλαβή. οἷον, ζεύς, ἢ δύο. οἷον. θεός. ἢ πλείους. οἷον, ἄνθρωπος. φιλόσοφος. ἀριστοτέλης, νεφεληγερέτα. ὁ πυροφυλάκιον. βατραχομυομαχία. μέχρι τοῦ πλείστου δεκατεσσάρων συλλαβῶν. οἷον, παρ᾽ ἀριστοφάνει πλούτῳ ὀρθοφοιτοσυκοφαντοδικοταλαιπώρων.

Περὶ λόγου.

Λόγος δὲ, σύνταξις λέξεων εὐαρμόστως συντεθειμένων. διάνοιαν ἔχουσα αὐτοτελῆ. Τούτου μέρη μὲν ὀκτώ. Ἄρθρον. Ὄνομα. Ἀντωνυμία. Ῥῆμα. Μετοχή. Ἐπίῤῥημα. Πρόθεσις, καὶ σύνδεσμος. ὧν κλιτὰ μὲν, πέντε. Ἄρθρον. Ὄνομα. Ἀντωνυμία. Ῥῆμα. Μετοχή. Ἄκλιτα δὲ τρία Ἐπίῤῥημα. πρόθεσις. σύνδεσμος.

Περὶ ἄρθρου.

Ἄρθρον μὲν γάρ, ἐστι μέρος λόγου πτωτικόν, προτασσόμενον τῆς κλίσεως τῶν ὀνομάτων, καὶ ὑποτασσόμενον. Παρεπόμενα δὲ, ἔχει τέσσαρα. γένος. ἀριθμόν. πτῶσιν. τάξιν. γένος μὲν ἀρσενικόν. οἷον, ὁ. θηλυκόν. οἷον, ἡ. οὐδέτερον. οἷον τό. ἀριθμὸν δὲ, ἑνικόν. οἷον ὁ. δυϊκόν. οἷον, τώ. πληθυντικόν. οἷον, οἱ. πτῶσιν, δὲ εὐθεῖαν. οἷον, ὁ. γενικήν. οἷον τοῦ. δοτικήν. οἷον, τῷ. αἰτιατικήν. οἷον, τόν. Τάξιν δέ. ὅτι τῶν ἄρθρων, τὰ μέν εἰσι προτακτικά. οἷον. ὁ. ἡ. τό. τὰ δὲ ὑποτακτικά. οἷον, ὅς. ἥ. ὅ. Κλίσις δὲ τοῦ μὲν προτακτικοῦ, τοιαύτη.

Ἀρσενικὰ ἑνικά.	ὁ.	τοῦ.	τῷ.	τόν.	Δυϊκά.
τώ.	τοῖν	Πληθυντικά.		οἱ.	τῶν
τοῖς	τούς.				
Θηλυκὰ ἑνικά.	ἡ.	τῆς	τῇ	τήν.	Δυϊκά.
τά.	ταῖν.				
Πληθυντικά.		αἱ.	τῶν	ταῖς.	τάς.

Οὐδέτερα	ἑνικά.	τό.	τοῦ	τῷ	τό.
Δυϊκά.	τώ.	τοῖν			
Πληθυντικά.		τά.	τῶν	τοῖς	τά.
Τοῦ δὲ ὑποτακτικοῦ		τοιαύτη.			
Ἀρσενικά	ἑνικά.	ὅς.	οὗ.	ᾧ.	ὅν.
Δυϊκά.	ὥ.	οἷν.			
Πληθυντικά.		οἵ.	ὧν	οἷς	οὕς.
Θηλυκά	ἑνικά.	ἥ.	ἧς.	ᾗ.	ἥν.
Δυϊκά.		ἅ.			αἷν
Πληθυντικά.		αἵ.	ὧν	αἷς	ἅς.
Οὐδέτερα	ἑνικά.	ὅ.	οὗ	ᾧ	ὅ.
Δυϊκά.		ὥ.			οἷν.
Πληθυντικά.		ἅ.	ὧν	οἷς	ἅ.

Ἰστέον δὲ, ὅτι τῶν ἄρθρων ἀπὸ φωνήεντος ἀρχόμενον, τὸ μὲν προτακτικὸν, δασύνεται μόνον. τὸ δὲ ὑποτακτικὸν, δασύνεταί τε, καὶ τόνον ἔτι δέχεται. Ἡ μὲν γὰρ ὀρθὴ, καὶ αἰτιατικὴ, ὀξύνεται. πᾶσα γὰρ ὀρθὴ, καὶ αἰτιατικὴ, μὴ ἀπὸ συναιρέσεως οὖσα, καὶ ἐφ᾽ ἑαυτῆς ἔχουσα τὸν τόνον, ὀξύνεται. ἐὰν μὴ ᾖ ἐν τῇ συνεπείᾳ· τότε γὰρ ἡ ὀξεῖα εἰς βαρεῖαν τρέπεται. ἡ δὲ γενικὴ, καὶ δοτικὴ, περισπᾶται. Πᾶσα γὰρ γενική τε, καὶ δοτικὴ μακροκατάληκτος, ἐπὶ τῆς μακρᾶς ἔχουσα τὸν τόνον περισπᾶται.

Περὶ ὀνόματος.

Ὄνομα δὲ, μέρος λόγου πτωτικόν. σῶμα, ἢ πρᾶγμα σημαῖνον. σῶμα μέν. οἷον, λίθος. πρᾶγμα δέ. οἷον, παιδεία. κοινῶς, ἢ ἰδίως λεγόμενον. κοινῶς μὲν οἷον, ἄνθρωπος. ἵππος. ἰδίως δέ. οἷον, Σωκράτης. βουκέφαλος.

Τούτου δὲ, τὸ μὲν κύριον. οἷον, σωκράτης. καλλιόπη. τὸ δὲ προσηγορικόν. οἷον, ἄνθρωπος. ἵππος. τὸ δὲ ἐπίθετον. οἷον, ἀγαθός. σοφός. τὸ δὲ ἀναφορικόν. οἷον, οἷος. ὅσος. τὸ δὲ ἐρωτηματικόν. οἷον, τίς. ποῖος. τὸ δὲ ἀριθμητικόν. οἷον, εἷς. δύο. τρεῖς. Παρεπόμενα δὲ ἔχει γένος. εἶδος. σχῆμα. ἀριθμόν. πτῶσιν. πρόσωπον.

Γένη μὲν τοῦ ὀνόματος, πέντε. τὸ μὲν γὰρ ἀρσενικῷ μόνως ὑποτασσόμενον ἄρθρῳ, ἀρσενικόν. οἷον, ὁ αἰνείας. τὸ δὲ θηλυκῷ, θηλυκόν. οἷον, ἡ μοῦσα. τὸ δὲ οὐδετέρῳ, οὐδέτερον. οἷον, τὸ ξύλον. τὸ δὲ ἀμφοῖν, ἀρσενικῷ τε, καὶ θηλυκῷ, κοινόν. οἷον, ὁ ἡ ἄνθρωπος, παρθένος. τὸ δὲ συνθατέρῳ ἄμφω τὰ γένη σημαῖνον, ἐπίκοινον. οἷον, ὁ ἀετός. ἡ χελιδών.

Εἴδη δὲ, δύο πρωτότυπον. οἷον, παῖς. δῆμος. παράγωγον. οἷον, θέων. δημοτικός.

Σχήματα δὲ, τρία ἁπλοῦν. οἷον, ἵππος. σύνθετον. οἷον, φίλιππος. παρασύνθετον. οἷον, φιλιππίδης.

Ἀριθμοὶ δὲ, τρεῖς. ἑνικός. οἷον, θεός. δυϊκός. οἷον, θεώ. πληθυντικός. οἷον, θεοί.

Πτώσεις δὲ, πέντε. εὐθεῖα, ἡ καὶ ὀρθὴ λέγεται. γενική. δοτική. αἰτιατική. κλητική.

Πρόσωπα δὲ, δύο. τρίτον. οἷον, σωκράτης. δεύτερον. οἷον, ὦ σώκρατες.

Περὶ κλίσεως τῶν ὀνομάτων.

Κλίνεται δὲ ἤτοι ἰσοσυλλάβως. οἷον, αἰνείας. αἰνείου, ἢ περιττοσυλλάβως. οἷον, αἴας. αἴαντος. καὶ ἰσοσυλλάβως μὲν, τετραχῶς. περιττοσυλλάβως δὲ, μοναχῶς. διὸ καὶ πέντε τῶν ὀνομάτων κλίσεις. αἱ μὲν τέσσαρες. πρώτη. δευτέρα. τρίτη. τετάρτη, ἰσοσύλλαβοι. ἡ δὲ μία, πέμπτη, περιττοσύλλαβος.

Πρώτη κλίσις ἰσοσύλλαβος.

Πρώτη μὲν οὖν, ἡ τῶν εἰς ᾱς. ἢ εἰς ης ληγόντων ἀρσενικῶν. ὧν, ἡ γενικὴ εἰς ου. ἡ δοτικὴ εἰς ᾳ. ἢ εἰς ῃ διφθόγγους καταχρηστικῶς. ἡ αἰτιατικὴ εἰς ν μετὰ τοῦ φωνήεντος τῆς εὐθείας λήγει.

Ε. ὁ αἰνείας. τοῦ αἰνείου. τῷ αἰνείᾳ. τὸν αἰνείαν. ὦ αἰνεία κοινῶς. καὶ ὦ αἰνεί-

ας ἀττικῶς. Δυϊκά. τὼ, καὶ ὦ αἰνείᾳ. τοῖν αἰνείαιν. Πληθυντικά. οἱ καὶ ὦ αἰνεῖαι. τῶν αἰνειῶν. τοῖς αἰνείαις. τοὺς αἰνείας.

Ε. ὁ ἀγχίσης. τοῦ ἀγχίσου. τῷ ἀγχίσῃ. τὸν ἀγχίσην. ὦ ἀγχίση κοινῶς, καὶ ὦ ἀγχίσης ἀττικῶς. Δ. τὼ, καὶ ὦ ἀγχίσα. τοῖν ἀγχίσαιν. Γ. οἱ, καὶ ὦ ἀγχίσαι. τῶν ἀγχισῶν. τοῖς ἀγχίσαις. τοὺς ἀγχίσας.

Ε. ἑνικά. ὁ προφήτης. τοῦ προφήτου. τῷ προφήτῃ. τὸν προφήτην. ὦ προφῆτα, προπερισπωμένως. Δ. τὼ, καὶ ὦ προφήτα. τοῖν προφήταιν. Γ. οἱ, καὶ ὦ προφῆται. τῶν προφητῶν. τοῖς προφήταις. τοὺς προφήτας.

Ε. ὁ ποιητής. τοῦ ποιητοῦ. τῷ ποιητῇ. τὸν ποιητήν. ὦ ποιητά. Δ. τὼ, καὶ ὦ ποιητά. τοῖν ποιηταῖν. Γ. οἱ, καὶ ὦ ποιηταί. τῶν ποιητῶν. τοῖς ποιηταῖς. τοὺς ποιητάς.

Ε. ὁ βιβλιοπώλης. τοῦ βιβλιοπώλου. τῷ βιβλιοπώλῃ. τὸν βιβλιοπώλην. ὦ βιβλιοπῶλα. Δ. τὼ, καὶ ὦ βιβλιοπώλα. τοῖν βιβλιοπώλαιν. Γ. οἱ, καὶ ὦ βιβλιοπῶλαι. τῶν βιβλιοπωλῶν. τοῖς βιβλιοπώλαις. τοὺς βιβλιοπώλας.

Δευτέρα κλίσις ἰσοσύλλαβος.

Δευτέρα δὲ, ἡ τῶν εἰς α, ἢ εἰς η ληγόντων θηλυκῶν. ὧν ἡ γενικὴ εἰς ας. ἢ εἰς ης. ἡ δοτικὴ εἰς ᾳ, ἢ εἰς ῃ δίφθογγον κατὰ χρηστικάς. ἡ αἰτιατικὴ εἰς ν μετὰ τοῦ φωνήεντος τῆς εὐθείας λήγει. οἷον.

Ε. ἡ καὶ ὦ μοῦσα. τῆς μούσης. τῇ μούσῃ. τὴν μοῦσαν. Δ. τὰ καὶ ὦ μούσα. ταῖν μούσαιν. Γ. αἱ καὶ ὦ μοῦσαι. τῶν μουσῶν. ταῖς μούσαις. τὰς μούσας.

Ε. ἡ καὶ ὦ ἀρέθουσα. τῆς ἀρεθούσης. τῇ ἀρεθούσῃ. τὴν ἀρέθουσαν. Δ. τὰ, καὶ ὦ ἀρεθούσα. ταῖν ἀρεθούσαιν. Γ. αἱ, καὶ ὦ ἀρέθουσαι. τῶν ἀρεθουσῶν, ταῖς ἀρεθούσαις. τὰς ἀρεθούσας.

Ε. ἡ καὶ ὦ τιμή. τῆς τιμῆς. τῇ τιμῇ. τὴν τιμήν. Δ. τὰ, καὶ ὦ τιμά. ταῖν τιμαῖν. Γ. αἱ, καὶ ὦ τιμαί. τῶν τιμῶν. ταῖς τιμαῖς. τὰς τιμάς.

Ε. ἡ καὶ ὦ πηνελόπη. τῆς πηνελόπης. τῇ πηνελόπῃ. τὴν πηνελόπην. Δ. τὰ, καὶ ὦ πηνελόπα. ταῖν πηνελόπαιν. Γ. αἱ, καὶ ὦ πηνελόπαι. τῶν πηνελοπῶν. ταῖς πηνελόπαις. τὰς πηνελόπας.

Ε. ἡ καὶ ὦ μαῖα. τῆς μαίας. τῇ μαίᾳ. τὴν μαῖαν. Δ. τὰ, καὶ ὦ μαία. ταῖν μαίαιν. Γ. αἱ, καὶ ὦ μαῖαι. τῶν μαιῶν. ταῖς μαίαις. τὰς μαίας.

Ε. ἡ καὶ ὦ δηϊάνειρα. τῆς δηϊανείρας. τῇ δηϊανείρᾳ. τὴν δηϊάνειραν. Δ. τὰ, καὶ ὦ δηϊανείρα. ταῖν δηϊανείραιν. Γ. αἱ, καὶ ὦ δηϊάνειραι. τῶν δηϊανειρῶν. ταῖς δηϊανείραις. τὰς δηϊανείρας.

Δ εἰ δὲ εἰδέναι. ὅτι μόνα τὰ εἰς α μακρόν τε, καὶ καθαρόν. καὶ εἰς ρα. καὶ εἰς δα. καὶ εἰς θα λήγοντα, τὸ ληκτικὸν αὐτῶν α φυλάττοντα κλίνεται ἐπὶ τῆς γενικῆς, καὶ δοτικῆς. οἷον, ἀθηνᾶ. ἀθηνᾶς. ἀθηνᾷ. ῥοία. ῥοίας. ῥοίᾳ. ἡμέρα. ἡμέρας. ἡμέρᾳ. λήδα. λήδας. λήδᾳ. κισσαίθα. κισσαίθας. κισσαίθᾳ. τὰ δ' ἄλλα εἰς α, αὐτὸ τὸ α εἰς η τρέποντα κλίνεται. οἷον, μοῦσα. μούσης. μούσῃ. δίψα, δίψης, δίψῃ. πεῖνα, πείνης, πείνῃ. γλῶττα, γλώττης, γλώττῃ. θάλασσα, θαλάσσης, θαλάσσῃ.

Δ εἰ δὲ εἰδέναι καὶ τοῦτο. ὅτι ἡ γενικὴ τῶν πληθυντικῶν τῆς τε πρώτης, καὶ τῆς δευτέρας κλίσεως, περισπᾶται. οἷον, ὁ αἰνείας. τῶν αἰνειῶν. ἡ μοῦσα. τῶν μουσῶν. ὁ ὀρέστης. τῶν ὀρεστῶν. ἡ ταχεῖα, τῶν ταχειῶν. ἡ μέλαινα. τῶν μελαινῶν. ἡ ἀφύη δὲ, τῶν ἀφύων παροξυτόνως, καὶ ὁ χρήστης. τῶν χρήστων, οὐ χρηστῶν, καὶ ὁ χλούνης. τῶν χλούνων, οὐ χλουνῶν. καὶ αἱ ἐτησίαι, τῶν ἐτησίων, οὐκ ἐτησιῶν. ἔτι ἡ δικαία. τῶν δικαίων. οὐ δικαιῶν. τὰ γὰρ παρεσχηματισμένα ἀρσενικοῖς εἰς ος καταληγομένοις ὁμοφωνεῖ τῷ ἀρσενικῷ ἐπὶ τῆς γενικῆς τῶν πληθυντικῶν.

Τρίτη κλίσις ἰσοσύλλαβος.

Τρίτη δὲ, ἡ τῶν εἰς ος ληγόντων ἀρσενικῶν τε, καὶ θηλυκῶν, καὶ κοινῶν, καὶ ἐπὶ κοινῶν, καὶ εἰς ον οὐδετέρων, μὴ μέντοι συγκριτικῶν ὄντων. οἷον, κρεῖττον. βέλτιον. ταῦτα γὰρ περιττοσύλλαβα. ὧν ἡ γενικὴ εἰς ου. ἡ δοτικὴ εἰς ῳ δίφθογγον κατὰ χρηστικήν. ἡ αἰτιατικὴ εἰς ν μετὰ τοῦ φωνήεντος τῆς εὐθείας λήγει. οἷον.

Ε. ὁ λόγος. τοῦ λόγου. τῷ λόγῳ, τὸν λόγον. ὦ λόγε κοινῶς, καὶ ὦ λόγος ἀττικῶς. Δ. τὼ, καὶ ὦ λόγω. τοῖν λόγοιν. Γ. οἱ, καὶ ὦ λόγοι. τῶν λόγων. τοῖς λόγοις. τοὺς λόγους.

Ε. ὁ θεός. τοῦ θεοῦ. τῷ θεῷ. τὸν θεόν. ὦ θεέ. καὶ ὦ θεός. Δ. τὼ, καὶ ὦ θεώ. τοῖν θεοῖν. Γ. οἱ καὶ ὦ θεοί. τῶν θεῶν. τοῖς θεοῖς. τοὺς θεούς.

Ε. ἡ μύρτος· τῆς μύρτου· τῇ μύρτῳ· τὴν μύρτον· ὦ μύρτε, καὶ ὦ μύρτος. Δ. τὰ καὶ ὦ μύρτω· ταῖν μύρτοιν. Π. αἱ καὶ ὦ μύρτοι· τῶν μύρτων· ταῖς μύρτοις· τὰς μύρτους.

Ε. ἡ ὁδός· τῆς ὁδοῦ· τῇ ὁδῷ· τὴν ὁδόν· ὦ ὁδὲ, καὶ ὦ ὁδός. Δ. τὰ καὶ ὦ ὁδώ· ταῖν ὁδοῖν. Π. αἱ καὶ ὦ ὁδοί· τῶν ὁδῶν· ταῖς ὁδοῖς· τὰς ὁδούς.

Ε. ὁ ἡ ἄνθρωπος· τοῦ· τῆς ἀνθρώπου· τῷ· τῇ ἀνθρώπῳ· τὸν τὴν ἄνθρωπον· ὦ ἄνθρωπε, καὶ ὦ ἄνθρωπος. Δ. τὼ· τὰ, καὶ ὦ ἀνθρώπω· τοῖν· ταῖν· ἀνθρώποιν. Π. οἱ καὶ ὦ ἄνθρωποι· τῶν ἀνθρώπων· τοῖς· ταῖς ἀνθρώποις· τούς· τὰς ἀνθρώπους.

Ε. ὁ ἀετός· τοῦ ἀετοῦ· τῷ ἀετῷ· τὸν ἀετόν· ὦ ἀετέ, καὶ ὦ ἀετός. Δ. τὼ, καὶ ὦ ἀετώ· τοῖν ἀετοῖν. Π. οἱ καὶ ὦ ἀετοί· τῶν ἀετῶν· τοῖς ἀετοῖς· τοὺς ἀετούς.

Ε. τὸ ξύλον· τοῦ ξύλου· τῷ ξύλῳ· τὸ ξύλον, ὦ ξύλον. Δ. τὼ, καὶ ὦ ξύλω· τοῖν ξύλοιν. Π. τὰ ξύλα· τῶν ξύλων· τοῖς ξύλοις· τὰ καὶ ὦ ξύλα.

Ε. τὸ μειράκιον τριπτώτως· τοῦ μειρακίου· τῷ μειρακίῳ. Δ. τὼ, καὶ ὦ μειρακίω· τοῖν μειρακίοιν. Π. τὰ μειράκια τριπτώτως· τῶν μειρακίων· τοῖς μειρακίοις.

Δεῖ δὲ εἰδέναι· ὅτι ἐπὶ πάντων τῶν οὐδετέρων ἐν παντὶ ἀριθμῷ, καὶ τῶν δυικῶν, τρεῖς πτώσεις αἱ αὐταί εἰσιν εὐθεῖά τε, καὶ αἰτιατικὴ, καὶ κλητική· οἷον καλόν· καλώ· καλά· αἰνεία· μοῦσα λόγω· αἴαντε τριπτώτως. ἐπὶ δὲ τῶν πληθυντικῶν τῶν μὴ οὐδετέρων, δύο, εὐθεῖά τε, καὶ κλητική· οἷον, αἰνεῖαι· μοῦσαι· λόγοι· αἴαντες διπτώτως.

Τετάρτη κλίσις ἰσοσυλλάβως.

Τετάρτη δέ, ἡ τῶν εἰς ως ληγόντων ἀρσενικῶν τε, καὶ θηλυκῶν, καὶ κοινῶν, καὶ εἰς ων οὐδετέρων· ὧν ἡ γενικὴ εἰς ω· ἡ δοτικὴ εἰς ῳ δίφθογγον, κατὰ χρῆσιν· ἡ αἰτιατικὴ εἰς ν μετὰ τοῦ φωνήεντος τῆς εὐθείας λήγει· οἷον.

Ε. ὁ, καὶ ὦ μενέλεως· τοῦ μενέλεω· τῷ μενέλεῳ· τὸν μενέλεων. Δ. τὼ, καὶ ὦ μενέλεω· τοῖν μενέλεων. Π. οἱ, καὶ ὦ μενέλεῳ· τῶν μενέλεων· τοῖς μενέλεως· τοὺς μενέλεως.

Ε. ὁ, καὶ ὦ ἀνδρόγεως· τοῦ ἀνδρόγεω· τῷ ἀνδρόγεῳ· τὸν ἀνδρόγεων, καὶ τὰ λοιπὰ ὁμοίως τῷ μενέλεως.

Ε. ἡ, καὶ ὦ ἅλως· τῆς ἅλω· τῇ ἅλῳ· τὴν ἅλων. Δ. τὰ καὶ ὦ ἅλω· ταῖν ἅλων. Π. αἱ, καὶ ὦ ἅλω· τῶν ἅλων· ταῖς ἅλως· τὰς ἅλως.

Ε. ὁ· ἡ, καὶ ὦ εὔγεως· τοῦ· τῆς εὔγεω· τῷ· τῇ εὔγεῳ· τὸν, τὴν εὔγεων. Δ. τὼ, τὰ καὶ ὦ εὔγεω· τοῖν· ταῖν εὔγεων. Π. οἱ, αἱ καὶ ὦ εὔγεω· τῶν εὔγεων· τοῖς ταῖς εὔγεως· τοὺς, τὰς εὔγεως.

Ε. τὸ εὔγεων, τριπτώτως· τοῦ εὔγεω· τῷ εὔγεῳ. Δ. τὼ, καὶ ὦ εὔγεω· τοῖν εὔγεων. Π. τὰ εὔγεω τριπτώτως· τῶν εὔγεων· τοῖς εὔγεως.

Ε. ὁ, καὶ ὦ κάλως· τοῦ κάλω· τῷ κάλῳ· τὸν κάλων· τὸ σχοινίον· ὅθεν παροιμία· πάντα κάλων κινεῖν.

Ἀνάγοιτο δ' ἄν πως ἐπὶ ταύτην καὶ τὰ κλινόμενα δωρικῶς ἀφαιρέσει τοῦ σ· λάας, λάα, θωμᾶς, θωμᾶ· ποδῆς· ποδῆ· δρῆς, δρῆ.

Πέμπτη κλίσις περιττοσυλλάβως.

Πέμπτη δὲ ἡ πάντων τῶν περιττοσυλλάβως κλινομένων ἀρσενικῶν τε, καὶ θηλυκῶν, καὶ οὐδετέρων, καὶ κοινῶν, καὶ ἐπικοίνων· ὧν ἡ γενικὴ εἰς ος διαφόρως μέντοι ἢ τὰ μὲν εἰς καθαρόν· τὰ δὲ, μὴ ἀλλὰ συνόντος συμφώνου ἤτοι ψιλοῦ, ἢ δασέως· ἢ μέσου, ἢ ἀμεταβόλου· ἡ δοτικὴ εἰς ι· ἡ αἰτιατικὴ εἰς α πλὴν τῶν οὐδετέρων· τούτων γὰρ ἡ αἰτιατικὴ ἡ αὐτὴ τῇ εὐθείᾳ· τούτων δὲ κατὰ λέξεις ὡς πλεῖσται.

Τῶν μὲν οὖν φωνηέντων τελικὰ τῶν τοιούτων, ὀνομάτων· α· ι· υ· ω· οἷον, σῆμα· μέλι· γόνυ· διδώ· τῶν δὲ συμφώνων· ν· ξ· ρ· σ· ψ· προηγουμένων μὲν τοῦ· ν· α· η· ι· υ· ε· ω· παιάν· ἕλλην· δελφίν· φόρκυν· χαρίεν· κορύδων· τοῦ δὲ ξ· α· η· ι· ο· ω· θώραξ· μύρμηξ· τέττιξ· φλόξ· πτώξ· τοῦ δὲ, ρ· α· η· υ· ω· ει· ἔαρ, πατήρ· πῦρ· νέστωρ· χείρ, τοῦ δὲ, σ· α· ε· η· ι· υ· ο· ω· αι· αυ· ει· ευ· οι· ου· λ· ν· ἀρκὰς, ἀληθὲς, λάχης, πάρις, ἐριννὺς, τεῖχος, φῶς, παῖς, γραῦς, χαρίεις, θησεύς· οἷς κατὰ συναίρεσιν ἐκ τοῦ ὄϊς, βοῦς, ἅλς, τίρυνς, τοῦ δὲ ψ· α· ε· ι· ο· ω· ἄραψ, φλέψ, αἰθίοψ, κύκλωψ, κλίνονται δὲ ὧδε.

Ε. ὁ αἴας· τοῦ αἴαντος· τῷ αἴαντι· τὸν αἴαντα· ὦ αἶαν κοινῶς, καὶ ὦ αἴας ἀττικῶς. Δ. τὼ, καὶ ὦ αἴαντε· τοῖν αἰάντοιν. Π. οἱ, καὶ ὦ αἴαντες· τῶν αἰάντων· τοῖς αἴασι· τοὺς αἴαντας.

Ε. ἡ, καὶ ὦ τρυγών· τῆς τρυγόνος· τῇ τρυγόνι· τὴν τρυγόνα. Δ. τὰ, καὶ ὦ

φυγόνε· τοῖν φυγόνοιν. Γ. αἱ, καὶ ὦ φυγόνες· τῶν φυγόνων. ταῖς φυγόσι· τὰς φυγόνας.

Ε. τὸ γράμμα τριπτώτως· τοῦ γράμματος· τῷ γράμματι. Δ. τὼ, καὶ ὦ γράμματε· τοῖν γραμμάτοιν. Γ. τὰ γράμματα τριπτώτως· τῶν γραμμάτων· τοῖς γράμμασι.

Ἀπὸ δὲ τῆς πέμπτης ταύτης κλίσεως, εἰσὶ καὶ ἕτεραι πέντε κλίσεις κατὰ συναίρεσιν, καὶ κρᾶσιν γινόμεναι. Ἔστι μέν γε συναίρεσις δύο φωνηέντων φυλαττομένων συναλοιφή· οἷον, δημοσθένεϊ, δημοσθένει. Κρᾶσις δὲ, δύο φωνηέντων ἤτοι ἀμφοτέρων ἀλλοιουμένων· οἷον, δημοσθένεα, δημοσθένη, ἢ τοῦ ἑνός· οἷον, δημοσθένεος, δημοσθένους.

Πρώτη κλίσις τῶν συνῃρημένων.

Πρώτη μὲν οὖν κλίσις τῶν συνῃρημένων ἡ τῶν εἰς ης ληγόντων ἀρσενικῶν τε καὶ θηλυκῶν· καὶ εἰς ες ἢ εἰς ος οὐδετέρων· ὧν ἡ γενικὴ διὰ τοῦ εος οὖσα ἰωνικῶς εἰς ους ποιεῖ τὸ συνῃρημένον κοινῶς τε καὶ ἀττικῶς, ὧδε.

Ε. ὁ δημοσθένης, τοῦ δημοσθένεος, δημοσθένους· τῷ δημοσθένεϊ, δημοσθένει· τὸν δημοσθένεα, δημοσθένη, καὶ δημοσθένην ἀττικῶς· ὦ δημόσθενες, καὶ ὦ δημοσθένης. Δ. τὼ, καὶ ὦ δημοσθένεε, δημοσθένη· τοῖν δημοσθενέοιν, δημοσθενοῖν. Γ. οἱ καὶ ὦ δημοσθένεες, δημοσθένεις· τῶν δημοσθενέων, δημοσθενῶν· τοῖς δημοσθένεσι, μόνως· τοὺς δημοσθένεας, δημοσθένεις.

Ε. ὁ, ἡ ἀληθής· τοῦ, τῆς ἀληθέος, ἀληθοῦς· τῷ τῇ ἀληθέϊ, ἀληθεῖ· τὸν, τὴν ἀληθέα, ἀληθῆ· ὦ ἀληθής· καὶ ὦ ἀληθές. Δ. τὼ, καὶ τὰ, καὶ ὦ ἀληθέε, ἀληθῆ· τοῖν, ταῖν ἀληθέοιν, ἀληθοῖν. Γ. οἱ, αἱ καὶ ὦ ἀληθέες, ἀληθεῖς· τῶν ἀληθέων, ἀληθῶν· τοῖς, ταῖς ἀληθέσι· τοὺς καὶ τὰς ἀληθέας, ἀληθεῖς.

Ε. τὸ ἀληθές τριπτώτως· τοῦ ἀληθέος, ἀληθοῦς· τῷ ἀληθέϊ ἀληθεῖ. Δ. τὼ, καὶ ὦ ἀληθέε, ἀληθῆ· τοῖν ἀληθέοιν, ἀληθοῖν. Γ. τὰ ἀληθέα, ἀληθῆ τριπτώτως· τῶν ἀληθέων, ἀληθῶν, τοῖς ἀληθέσι.

Ε. τὸ τεῖχος τριπτώτως· τοῦ τείχεος, τείχους· τῷ τείχεϊ, τείχει. Δ. τὼ, καὶ ὦ τείχεε, τείχη· τοῖν τειχέοιν, τειχοῖν. Γ. τὰ τείχεα, τείχη· τῶν τειχέων, τειχῶν· τοῖς τείχεσι.

Ταύτης

Ταύτης δὲ τῆς κλίσεως πάθη· εο, ου· εϊ· ει· εα, καὶ εε, μὴ ἑπομένου μὲν τοῦ σ, η· ἑπομένου δὲ, ει· εοι, οι· εω, ω· τοῦ δημοσθένεος, δημοσθένους· τῷ δημοσθένεϊ, δημοσθένει· τὸν δημοσθένεα, τὼ, καὶ ὦ δημοσθένεε, δημοσθένη· οἱ καὶ ὦ δημοσθένεες, καὶ τοὺς δημοσθένεας, δημοσθένεις· τοῖν δημοσθενέοιν, δημοσθενοῖν· τῶν δημοσθενέων, δημοσθενῶν.

Δευτέρα κλίσις τῶν συνῃρημένων.

Δευτέρα δὲ κλίσις τῶν συνῃρημένων, ἡ τῶν εἰς ις ληγόντων ἀρσενικῶν τε, καὶ θηλυκῶν· καὶ εἰς ι οὐδετέρων, ὧν ἡ γενικὴ εἰς ιος κοινῶς, καὶ εος ἰωνικῶς· καὶ εως ἀττικῶς λήγει· οἷον.

Ε. ὁ ὄφις· τοῦ ὄφιος, κοινῶς· καὶ ὄφεος, ἰωνικῶς· καὶ ὄφεως ἀττικῶς· τῷ ὄφιϊ, ὄφι· καὶ ὄφεϊ, ὄφει· τὸν ὄφιν μόνον· ὦ ὄφι, καὶ ὦ ὄφις. Δ. τὼ, καὶ ὦ ὄφιε, καὶ ὄφεε· τοῖν ὀφίοιν, καὶ ὀφέοιν, καὶ ὄφεων. Γ. οἱ καὶ ὦ ὄφιες, ὄφις, καὶ ὄφεες, ὄφεις· τῶν ὀφίων, καὶ ὀφέων, καὶ ὄφεων· τοῖς ὄφισι, καὶ ὄφεσι· τοὺς ὄφιας, ὄφις· καὶ ὄφεας, ὄφεις.

Ε. ἡ πόλις· τῆς πόλιος, κοινῶς, καὶ πόλεος, ἰωνικῶς, καὶ πόλεως, ἀττικῶς· τῇ πόλιϊ, πόλι· καὶ πόλεϊ, πόλει· τὴν πόλιν μόνως· ὦ πόλι, καὶ ὦ πόλις. Δ. τὰ, καὶ ὦ πόλιε, καὶ πόλεε· ταῖν πολίοιν, καὶ πολέοιν, καὶ πόλεων. Γ. αἱ, καὶ ὦ πόλιες, πόλις· καὶ πόλεες· πόλεις· τῶν πολίων, καὶ πολέων, καὶ πόλεων· ταῖς πόλισι, καὶ πόλεσι· τὰς πόλιας, πόλις· καὶ πόλεας, πόλεις.

Ε. τὸ σίνηπι τριπτώτως· τοῦ σινήπιος, κοινῶς· καὶ σινήπεος, ἰωνικῶς· καὶ σινήπεως, ἀττικῶς· τῷ σινήπιϊ, σινήπι, καὶ σινήπεϊ, σινήπει. Δ. τὼ, καὶ ὦ σινήπιε, καὶ σινήπεε· τοῖν σινηπίοιν· καὶ σινηπέοιν· καὶ σινήπεων. Γ. τὰ σινήπια, σινήπι· καὶ σινήπεα, σινήπη· τριπτώτως· τῶν σινηπίων, καὶ σινηπέων, καὶ σινήπεων· τοῖς σινήπισι· καὶ σινήπεσι.

Ταύτης δὲ τῆς κλίσεως πάθη· ιι, καὶ ιε, καὶ ια, ι· τῷ ὄφιϊ, ὄφι· οἱ ὄφιες, καὶ τοὺς ὄφιας, ὄφις· τὰ σινήπια, σινήπι· τούτων δὲ καὶ τὸ ο τῆς γενικῆς εἰς ω μεταβάλλει· καὶ τὸ ι εἰς ε· ὄφιος· ὄφεως· ὀφίοιν, ὄφεων· καὶ ὅλως τὸ παραλῆγον ι εἰς ε μεταβάλλει· ὥστε καὶ πάλιν συναιρέσεις γίνεσθαι τοῖς τῶν συνῃρημένων πρώτης κλίσεως ὁμοίας· εϊ, καὶ εες, καὶ εας, ει· καὶ εα, η· χωρὶς τοῦ σ· τῷ ὄφεϊ, ὄφει· οἱ καὶ ὦ ὄφεες, καὶ τοὺς ὄφεας, ὄφεις· τὰ σινήπεα σινήπη.

Σημείωσαι δὲ, ὅτι μὴ ἐπιδεχομένης συναίρεσιν τῆς τῶν ἑνικῶν γενικῆς, οὔτε

τὰ δυικὰ ὅλως, οὔτε ἡ γενικὴ τῶν πληθυντικῶν ἐπιδέχεται.

Τρίτη κλίσις τῶν συνῃρημένων.

Τρίτη δὲ, ἡ τῶν εἰς εὺς ληγόντων ἀρσενικῶν, ὧν ἡ γενικὴ εἰς έος κοινῶς, καὶ ῆος ἰωνικῶς, καὶ έως ἀττικῶς λήγει. οἷον,

Ε. ὁ βασιλεύς· τοῦ βασιλέος κοινῶς. καὶ βασιλῆος, ἰωνικῶς. καὶ βασιλέως ἀττικῶς. τῷ βασιλέϊ, βασιλεῖ, καὶ βασιλῆι. τὸν βασιλέα. καὶ βασιλῆα. ὦ βασιλεῦ. καὶ ὦ βασιλεύς. Δ. τὼ, καὶ ὦ βασιλέε, καὶ βασιλῆε. τοῖν βασιλέοιν. καὶ βασιλήοιν. Π. οἱ, καὶ ὦ βασιλέες, βασιλεῖς. καὶ βασιλῆες. τῶν βασιλέων. καὶ βασιλήων. τοῖς βασιλεῦσι μόνον. τοὺς βασιλέας. βασιλεῖς. καὶ βασιλῆας.

Τ αὐτῆς δὲ τῆς κλίσεως πάθη. εϊ καὶ εε καὶ εα, ει. τῷ βασιλέϊ. βασιλεῖ. οἱ βασιλέες. καὶ τοὺς βασιλέας, βασιλεῖς. Τούτων δὲ καὶ τὸ ο τῆς γενικῆς, εἰς ω μεταβάλλει ἀττικῶς. τοῦ βασιλέος, βασιλέως. καὶ πάλιν τὸ παραλῆγον ε εἰς η τρέπεται ἐφ' ἑκάστης τῶν πτώσεων ἰωνικῶς, βασιλέος. βασιλῆος. βασιλέϊ, βασιλῆϊ. Καὶ ἡ αἰτιατικὴ τῶν ἑνικῶν συναίρεσιν οὐκ ἐπιδέχεται. ὅτι τῆς κλητικῆς εἰς φωνῆεν ληγούσης, ἡ τῶν ἑνικῶν αἰτιατικὴ οὐδέποτε καταλήγει εἰς η.

Τετάρτη κλίσις τῶν συνῃρημένων.

Τ ετάρτη δὲ, ἡ τῶν εἰς ω ἢ εἰς ως ληγόντων θηλυκῶν. ὧν ἡ γενικὴ εἰς όος λήγουσα εἰς οῦς ποιεῖ τὸ συνῃρημένον. οἷον,

Ε. ἡ, μαντώ. τῆς μαντόος, μαντοῦς. τῇ μαντόϊ, μαντοῖ. τὴν μαντόα, μαντώ. ὦ μαντοῖ. Δ. τὰ, καὶ ὦ μαντώ. ταῖν μαντοῖν. Π. αἱ, καὶ ὦ μαντοί. τῶν μαντῶν. ταῖς μαντοῖς. τὰς μαντούς.

Ε. ἡ αἰδώς. τῆς αἰδόος. αἰδοῦς. τῇ αἰδόϊ, αἰδοῖ. τὴν αἰδόα, αἰδῶ ποιηματικῶς. ὦ αἰδοῖ. Δ. τὰ, καὶ ὦ αἰδώ. ταῖν αἰδοῖν. Π. αἱ, καὶ ὦ αἰδοί. τῶν αἰδῶν. ταῖς αἰδοῖς. τὰς αἰδούς.

Τ αὐτῆς δὲ τῆς κλίσεως πάθη. οο, ου. οϊ, οι. οα, ω. τῆς μαντόος, μαντοῦς. τῇ μαντόϊ, μαντοῖ, τὴν μαντόα, μαντώ. Τούτων τὰ δυικὰ, καὶ πληθυντικὰ τῆς δευτέρας γίνεται κλίσεως τῶν ἰσοσυλλάβων. καὶ ἡ τῶν ἑνικῶν κλητικὴ εἰς τὴν οι δίφθογγον τελευτᾷ. καὶ ἡ αἰτιατικὴ ὀξύνεται, καίπερ ἀπὸ συναιρέσεως οὖσα. Πᾶσα γὰρ πτῶσις, ὁμοφωνήσασα ἑτέρᾳ πτώσει, καὶ τὸν τόνον αὐτῆς ἔχει καὶ τὸν χρόνον κατὰ τὴν αὐτὴν

διάλεκτον. καὶ τὸν αὐτὸν ἀριθμόν. οὕτω καὶ σαπφόα, καὶ σαπφὼ ὀξυτόνως. καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως. Τὴν αἰδῶ δὲ, περισπᾶται, ὅτι οὐχ ὁμοφωνεῖ τῇ εὐθείᾳ αἰδώς.

Πέμπτη κλίσις τῶν συνῃρημένων.

Π έμπτη δὲ, ἡ τῶν εἰς ας καθαρὸν, ἢ εἰς ρας ληγόντων οὐδετέρων. ὧν ἡ γενικὴ εἰς ατος κοινῶς, καὶ αος ἰωνικῶς. καὶ ως κατὰ συναίρεσιν ἀττικῶς λήγει. οἷον.

Ε. τὸ κρέας τρικτώτως. τοῦ κρέατος κοινῶς. καὶ κρέαος ἰωνικῶς. καὶ κρέως ἀττικῶς. τῷ κρέατι. καὶ κρέαϊ. καὶ κρέᾳ. Δ. τὼ, καὶ ὦ κρέατε. καὶ κρέαε. καὶ κρέα. τοῖν κρεάτοιν. καὶ κρεάοιν. καὶ κρεῷν. Π. τὰ κρέατα. καὶ κρέαα. καὶ κρέα τριπτώτως. τῶν κρεάτων, καὶ κρεάων. καὶ κρεῶν. τοῖς κρέασι μόνον.

Ε. τὸ γῆρας τριπτώτως. τοῦ γήρατος. καὶ γήραος. καὶ γήρως. τῷ γήρατι. καὶ γήραϊ. καὶ γήρᾳ. Δ. τὼ, καὶ ὦ γήρατε. καὶ γήραε. καὶ γήρα. τοῖν γηράτοιν. καὶ γηράοιν. καὶ γηρῷν. Π. τὰ γήρατα. καὶ γήραα. καὶ γήρα τριπτώτως. τῶν γηράτων. καὶ γηράων. καὶ γηρῶν. τοῖς γήρασι μόνον.

Τ αὐτῆς δὲ τῆς κλίσεως πάθη. αο καὶ αω, ω. αοι, ῳ, αε, καὶ αα, α. αϊ, ᾳ. τοῦ κρέαος, κρέως. τῶν κρεάων, κρεῶν. τοῖν κρεάοιν, κρεῷν. τὼ, καὶ ὦ κρέαε. καὶ τὰ κρέαα τριπτώτως, κρέα. τῷ κρέαϊ, κρέᾳ.

Δ εἰ δὲ εἰδέναι. ὅτι καὶ ἄλλα ἄττα ὀνόματα ἐπί τινων πτώσεων συναιρεῖται. Διὸ ἰστέον. ὅτι τὸ ἡδὺς οὕτω συναιρεῖται. ει, καὶ εε, καὶ εα ει. τῷ ἡδέϊ, ἡδεῖ. οἱ ἡδέες, καὶ τοὺς ἡδέας, ἡδεῖς. καὶ βότρυς οὕτως. υε, καὶ υα, υ. οἱ βότρυες, καὶ τοὺς βότρυας, βότρυς. Ἔτι τὸ βοῦς, οὕτως. οε, καὶ οα, ου. οἱ βόες, καὶ τοὺς βόας, βοῦς. καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως. τούτων δὲ, καὶ τοῦ ὄφις, καὶ τῶν ὁμοίων, ἡ τῶν ἑνικῶν αἰτιατικὴ ἀπὸ τῆς εὐθείας γίνεται, τροπῇ τοῦ σ, εἰς ν. ὁ ἡδὺς, τὸν ἡδύν. ὁ βότρυς. τὸν βότρυν. ὁ βοῦς, τὸν βοῦν. ὁ ὄφις, τὸν ὄφιν. Ἔτι τὰ τῆς τρίτης τῶν ἰσοσυλλάβων καθαρὸν ἔχοντα τὸ ος, ἐπὶ πάσης πτώσεως συναιρεῖται. οἷον.

Ε. ὁ νόος, νοῦς. τοῦ νόου, νοῦ. τῷ νόῳ, νῷ. τὸν νόον, νοῦν. ὦ νόε, νοῦ. Δ. τὼ, καὶ ὦ νόω, νώ. τοῖν νόοιν, νοῖν. Π. οἱ, καὶ ὦ νόοι, νοῖ. τῶν νόων, νῶν. τοῖς νόοις, νοῖς. τοὺς νόους, νοῦς. οὕτω καὶ τὸ πλόος, πλοῦς. καὶ χόος, χοῦς, καὶ ῥόος, ῥοῦς, ἀπὸ συναιρέσεως ὄντα. ὅταν δὲ οὐχ ὡς συνῃρημένα ταῦτα λαμβάνῃς, περιττοσυλλάβως κλίνεται. νοῦς. νοός. πλοῦς, πλοός. χοῦς, χοός. διὰ γὰρ οὖν διπλῆ ἐστὶν ἡ κλίσις ἐπὶ τούτων. Ὁμοίως δὲ καὶ

ἁπλόος, ἁπλοῦς, ἁπλόη, ἁπλῆ· ἁπλόον, ἁπλοῦν· παραπλησίως δὲ καὶ χρυσέος, χρυσοῦς· χρυσέα, χρυσῆ· χρυσέον, χρυσοῦν· καὶ ἐπὶ τῶν λοιπῶν πτώσεων, ὁμοίως· Ἔστι δὲ καθαρὸν, τὸ μὴ ἔχον ὅπισθεν σύμφωνον·

Καθόλου, καὶ συντομώτερον περὶ συναιρέσεων.

Αἱ πρώτης κλίσεως συναιρέσεις.

Ε ο, ου· ει, ει· εα, καὶ εε· η· καὶ μετὰ τοῦ σ, ὧδε· εες, καὶ εας, ει· εοι, οι· εω· ω· τοῦ ἀριστοτέλεος, ἀριστοτέλους· τῷ ἀριστοτέλεϊ, ἀριστοτέλει· τὸν ἀριστοτέλεα, καὶ τὼ, καὶ ὦ ἀριστοτέλεε, ἀριστοτέλη· οἱ, καὶ ὦ ἀριστοτέλεες, καὶ τοὺς ἀριστοτέλεας, ἀριστοτέλεις· τοῖν ἀριστοτελέοιν, ἀριστοτελοῖν· τῶν ἀριστοτελέων· ἀριστοτελῶν· Τῆς δευτέρας.

Ι ι, καὶ ιε, καὶ ια, ι· τῷ ὄφι, ὄφι· οἱ ὄφιες, τοὺς ὄφιας, ὄφις· ει, καὶ εε, καὶ εα, ει· ἐν τοῖς ἀρσενικοῖς τε, καὶ θηλυκοῖς· τῷ ὄφεϊ, ὄφει, οἱ ὄφεες, καὶ τοὺς ὄφεας, ὄφεις· Εα, η, ἐν τοῖς οὐδετέροις· σινήπια δίπτωτος, σινήπη· Τῆς τρίτης.

Ε ι, καὶ εε, καὶ εα, ει· τῷ ὀρφέϊ, ὀρφεῖ· οἱ ὀρφέες, καὶ τοὺς ὀρφέας, ὀρφεῖς·

Τῆς τετάρτης.

Ο ο, ου· τοῦ σαπφόος, σαπφοῦς· οι, οι, τῇ λητόϊ, λητοῖ· οα, ω, τὴν διδόα, διδώ· τὴν ἰόα, ἰώ· τὴν αἰδόα, αἰδῶ· Τῆς πέμπτης.

Α ο, καὶ αω, ω, τοῦ κρέαος, κρέως· τῶν κρεάων, κρεῶν· Αοι, ῳ· τοῖν κρεάοιν, κρεῷν· Αε, καὶ αα, α· τὼ, καὶ ὦ κρέαε, καὶ τὰ κρέαα δίπτωτος, κρέα· Αι, ᾳ, τῷ κρέαϊ, κρέᾳ·

Τοῦ ἡδὺς συναιρέσεις, καὶ τῶν τοιούτων.

Ε ι, καὶ εε, καὶ εα, ει· τῷ ἡδέϊ, ἡδεῖ· οἱ ἡδέες, καὶ τοὺς ἡδέας, ἡδεῖς·

Τοῦ βότρυς συναιρέσεις, καὶ τῶν τοιούτων.

Υ ι, καὶ υα, υ, οἱ βότρυες, καὶ τοὺς βότρυας, βότρυς·

Τοῦ βοῦς συναιρέσεις, καὶ τῶν ὁμοίων.

Ο ε, καὶ οα, ου· οἱ βόες, καὶ τοὺς βόας, βοῦς·

Τοῦ νόος συναιρέσεις, καὶ τῶν ὁμοίων.

Ο ο, καὶ οου, καὶ οε, ου· ὁ νόος, καὶ τοὺς νόους, νοῦς· τοῦ νόου, καὶ ὦ νόε, νοῦ, τὸν νόον, νοῦν· Οῳ, ῳ· τῷ νόῳ, νῷ· Οω ω, τὼ, καὶ ὦ νόω, νώ· τῶν νόων, νῶν· Οοι, οι· οἱ καὶ ὦ νόοι νοῖ· τοῖν νόοιν, νοῖν· τοῖς νόοις, νοῖς·

Τὰ εἰς αυς θηλυκά.

Τ ὰ δὲ εἰς αυς θηλυκὰ κλίνεται, ὧδε·

Ε· ἡ ναῦς, καὶ νηῦς· τῆς ναός, καὶ νηός, καὶ νεώς· τῇ ναΐ, καὶ νηΐ· τὴν ναῦν, καὶ νῆαν, καὶ νέα, καὶ νῆα· ὦ ναῦς, καὶ ναῦ, καὶ νηῦς· Δ· τὰ, καὶ ὦ νάε, καὶ νῆε· ταῖν ναοῖν· καὶ νηοῖν· Γ· αἱ, καὶ ὦ νάες, καὶ νῆες, καὶ νέες· τῶν ναῶν, καὶ νηῶν, καὶ νεῶν· ταῖς ναυσί, καὶ νηυσί· καὶ νήεσσι· τὰς νάας· καὶ νῆας· καὶ νέας· καὶ ναῦς·

Ε· ἡ γραῦς· τῆς γραός· καὶ γρηός· τῇ γραΐ· καὶ γρηΐ· τὴν γραῦν· καὶ γρηῦν· ὦ γραῦς· καὶ γραῦ· καὶ γρηῦς· Δ· τὰ, καὶ ὦ γράε· καὶ γρῆε· ταῖν γραοῖν· καὶ γρηοῖν· Γ· αἱ, καὶ ὦ γράες· καὶ γρῆες· τῶν γραῶν· καὶ γρηῶν· ταῖς γραυσί· καὶ γρηυσί· καὶ γρήεσσι· τὰς γράας· καὶ γρῆας· καὶ γραῦς, καὶ γρηῦς·

Περὶ κλίσεως τῶν ἀριθμητικῶν ὀνομάτων.

Τ ῶν δ᾽ ἀριθμητικῶν ὀνομάτων, τὰ μὲν ἓν σημαίνοντα, ἑνικῶς ἀεὶ κλίνεται· Τὰ δὲ δύο, δυϊκῶς· τὰ δὲ πλείω, πληθυντικῶς· ὧδε·

Ἀρσενικά·

Ε ἷς·	ἑνός·	ἑνί·	ἕνα·

Θηλυκά·

Μ ία	μιᾶς·	μιᾷ	μίαν·

Οὐδέτερα·

Ε ν·	ἑνός·	ἑνί·	ἕν·

Δ ύο, καὶ δύω ἀπτικῶς· δυοῖν, καὶ δυεῖν ἐπὶ θηλυκοῦ παρὰ τοῖς παλαιοῖς· Τὸ δὲ δύο καὶ πληθυντικῶς κλίνεται· ὧδε·

Ο ι, καὶ αἱ, καὶ τὰ δύο· τῶν δύο· τοῖς, καὶ ταῖς, καὶ τοῖς δυσί· τοὺς, καὶ τὰς, καὶ τὰ δύο·

Ο ι· καὶ αἱ τρεῖς· καὶ τὰ τρία· τῶν τριῶν τριγενῶς· τοῖς, καὶ ταῖς, καὶ τοῖς τρισί· τοὺς, καὶ τὰς τρεῖς, καὶ τὰ τρία· ὦ τρεῖς, καὶ ὦ τρία·

Ο ι, καὶ αἱ τέσσαρες, καὶ τὰ τέσσαρα· τῶν τεσσάρων τριγενῶς· τοῖς, καὶ ταῖς, καὶ τοῖς τέσσαρσι· τοὺς, καὶ τὰς τέσσαρας, καὶ τὰ τέσσαρα.

Α πὸ δὲ τῶν τεσσάρων, μέχρι τῶν ἑκατὸν ἀριθμὸς οὐδεὶς κλίνεται· διὰ

κλίνονται δὲ τὰ γένη, καὶ αἱ πτώσεις διὰ τῶν ἄρθρων. οἷον οἱ, καὶ αἱ, καὶ τὰ, καὶ ὦ πέντε. τῶν πέντε τριγενῶς. τοῖς, καὶ ταῖς, καὶ τοῖς πέντε. τοὺς, καὶ τὰς, καὶ τὰ πέντε. ὡσαύτως δὲ καὶ τὰ ἕξ, καὶ ἑπτά. καὶ ὀκτώ. καὶ ἐννέα, καὶ δέκα. καὶ τὰ λοιπά. Ἀπὸ δὲ διακοσίων πᾶς ἀριθμὸς κλίνεται τριγενῶς. οἷον,

Ἀρσενικά.

Οἱ, καὶ ὦ διακόσιοι. τῶν διακοσίων. τοῖς διακοσίοις. τοὺς διακοσίους.

Θηλυκά.

Αἱ, καὶ ὦ διακόσιαι. τῶν διακοσίων. ταῖς διακοσίαις. τὰς διακοσίας.

Οὐδέτερα.

Τὰ διακόσια. τῶν διακοσίων. τοῖς διακοσίοις τὰ διακόσια. Ὁμοίως καὶ τριακόσιοι. τετρακόσιοι. πεντακόσιοι. ἑξακόσιοι. ἑπτακόσιοι. ὀκτακόσιοι. ἐννεακόσιοι. χίλιοι. δισχίλιοι. τρισχίλιοι. τετρακισχίλιοι. πεντακισχίλιοι. καὶ τὰ ἑξῆς. Ὡσαύτως καὶ οἱ μύριοι. αἱ μύριαι. τὰ μύρια. καὶ δισμύριοι. τρισμύριοι. τετρακισμύριοι. πεντακισμύριοι. ἑξακισμύριοι. καὶ ἕτερα.

Περὶ τῆς τῶν ἐπιθέτων καταλήξεως.

Τῶν ἐπιθέτων, τὰ μὲν εἰς ᾱς. οἷον, ὁ πᾶς, τοῦ παντός. ἡ πᾶσα, τῆς πάσης, τὸ πᾶν, τοῦ παντός. τὰ δὲ εἰς ης. οἷον, ὁ, καὶ ἡ ἀληθὴς, καὶ τὸ ἀληθὲς, ἀληθέος, ἀληθοῦς. τὰ δὲ εἰς εις. οἷον, ὁ χαρίεις τοῦ χαρίεντος. ἡ χαρίεσσα, τῆς χαριέσσης. τὸ χαρίεν, τοῦ χαρίεντος. τὰ δὲ εἰς ις. οἷον, ὁ, καὶ ἡ φιλόπατρις, καὶ τὸ φιλόπατρι τοῦ φιλοπάτριδος τριγενῶς. τὰ δὲ εἰς ος. οἷον, ὁ ἀνδρεῖος, τοῦ ἀνδρείου. ἡ ἀνδρεία, τῆς ἀνδρείας. τὸ ἀνδρεῖον τοῦ ἀνδρείου. ὁ σοφός. ἡ σοφή. τὸ σοφόν. ὁ καὶ ἡ φιλόκαλος, καὶ τὸ φιλόκαλον.

Δεῖ δὲ εἰδέναι, ὅτι τὰ εἰς ος καθαρὸν ἐπίθετα, ποιεῖ θηλυκὸν εἰς ᾱ. οἷον, ἀνδρεῖος, ἀνδρεία. λόγιος, λογία. πλὴν τοῦ ὄγδοος, ὀγδόη. ὡσαύτως δὲ καὶ τὰ ρ ἔχοντα. οἷον, φοβερός. φοβερά. τὰ δὲ εἰς μὴ καθαρόν, εἰς η. οἷον, σοφός. σοφή. ἀγαθός. ἀγαθή. τὰ δὲ εἰς ος, καὶ εἰς ους, μὴ κατὰ συναίρεσιν σύνθετα, κοινά ἐστι. οἷον, ὁ καὶ ἡ ἔνδοξος. ὁ, καὶ ἡ φιλάνθρωπος. ὁ καὶ ἡ πολύπους. καὶ τὸ πολύπουν. κατὰ συναίρεσιν δὲ εἰς η σχηματίζει τὸ θηλυκόν. εἰ μὴ ἔχει τὸ ρ. οἷον, ὁ ἁπλόος, ἁπλοῦς, τοῦ ἁπλόου, ἁπλοῦ. ἡ ἁπλόη ἁπλῆ. τῆς ἁπλόης, ἁπλῆς. τὸ ἁπλόον, ἁπλοῦν, τοῦ ἁπλόου, ἁπλοῦ. ὁμοίως δὲ καὶ χρυσοῦς. χρυσῆ. χρυσοῦν. χαλκοῦς. χαλκῆ. χαλκοῦν. μολιβδοῦς. μολιβδῆ. μολιβδοῦν. ἀργυροῦς μέντοι, ἀργυρᾶ. ἀργυροῦν. ἅτινα ἰωνικῶς χρύσεος. χρυσέα. χρύσεον λέγεται, καὶ ἀργύρεος. ἀργυρέα. ἀργύρεον. Τὰ δὲ εἰς ῡς. οἷον, ἡδύς. ἡδεῖα. ἡδύ. ὁ καὶ ἡ ἄδακρυς. καὶ τὸ ἄδακρυ. Τὰ δὲ εἰς ων. οἷον, ὁ καὶ ἡ εὐδαίμων. καὶ τὸ εὔδαιμον. τὰ δὲ εἰς ως. οἷον, ὁ καὶ ἡ εὔγεως. καὶ τὸ εὔγεων. μόνον δὲ ὁ δεῖνα τρία ἐπιδέχεται ἄρθρα. ὁ καὶ ἡ καὶ τὸ δεῖνα. τοῦ, καὶ τῆς, καὶ τοῦ δεῖνος. τῷ, καὶ τῇ, καὶ τῷ δεῖνι. τὸν καὶ τὴν, καὶ τὸ δεῖνα.

Καταλήξεις διάφοροι τῶν πολυσυλλάβων ὀνομάτων.

Τὰ εἰς αν ἀρσενικά.

Ἑ. ὁ καὶ ὦ πάν. τοῦ πανός. τῷ πανί. τὸν πᾶνα. Δ. τὼ, καὶ ὦ πᾶνε. τοῖν πανοῖν. Π. οἱ, καὶ ὦ πᾶνες. τῶν πανῶν. τοῖς πασί. τοὺς πᾶνας.

Ἰστέον δὲ, ὅτι ἡ μὲν πανὸς γενικὴ ὀξύνεται. αἱ γὰρ εἰς ος δισύλλαβοι γενικαὶ, ὀξύνονται. οἷον, βοός. διός. μηνός. καὶ ἡ πανὶ δοτικὴ τῇ πανὸς γενικῇ, καὶ ἡ πασὶ δοτικὴ τῶν πληθυντικῶν, τῇ πανὶ δοτικῇ τῶν ἑνικῶν ὁμοφωνεῖ. ἡ δὲ πᾶνα. καὶ ἡ πᾶνας. καὶ ἡ πᾶνε. ὦ πᾶνε. καὶ οἱ πᾶνες. ὦ πᾶνες, ἐπὶ τῆς παραληγούσης ἔχουσι τὸν τόνον. ἡ δὲ πανῶν περισπᾶται, καὶ ἡ πανοῖν ταύτῃ ὁμοίως. ἡ γὰρ τῶν δυικῶν τῶν περισπωμένων γενική, τῇ τῶν πληθυντικῶν γενικῇ ἀκολουθεῖ. αἰαῖ, αἰαῖν. βοῶν, βοοῖν. πλὴν τοῦ χεροῖν. παιδοῖν. μηκέοιν. Καθόλου δὲ ταῖς τοῦ πᾶν τοιαύταις πλαγίαις αἱ τῶν περισπωμένων δισύλλαβοι ἕπονται, ἁλός. ἁλί. ἅλα. χειρός. χειρί. χεῖρα. ποδός. ποδί. πόδα. βωκός, βωκί. βῶκα. καὶ ἕτεραι. πλὴν τῶν δέκα ἐκείνων. δᾴς. δᾳδός. δᾷδες. δᾴδων. οὐ δᾳδῶν. δμώς. δμωός. δμῶες. δμώων, οὐ δμωῶν. θώς, θωός, θῶες, θώων, οὐ θωῶν. κράς. κρατός. κρᾶτες. κράτων, οὐ κρατῶν. λᾶς. λαός. οἱ λᾶες, τῶν λάων. οὐ λαῶν. πᾶς παντός. οἱ πάντες. τῶν πάντων. οὐ παντῶν. παῖς, παιδός. οἱ καὶ αἱ παῖδες τῶν παίδων, οὐ παιδῶν. τίς, τινός. οἱ καὶ αἱ τίνες, τῶν τίνων, οὐ τινῶν, φώς. φωτός. φῶτες. φώτων, οὐ φωτῶν. ὁ φῶς. τοῦ φωτός. οἱ φῶτες. τῶν φώτων, οὐ φωτῶν.

Καὶ ἔτι ἰστέον καθόλου, ὅτι αἱ τῶν ὀνομάτων πτώσεις ἀπαθεῖς τηροῦσαι, καὶ συνῃρημέναι, ἤ πως πάσχουσαί τι, ἐπὶ τῆς αὐτῆς συλλαβῆς. ἢ ἐπὶ τοῦ αὐτοῦ τόπου, ἐφ' οὗ ἡ εὐθεῖα ἔχουσι τὸν τόνον. οἷον, αἰνείας. αἰνείου. αἰνείᾳ. αἰνείαν. ποιητής. ποιητοῦ. ποιητῇ. ποιητήν. μοῦσα. μούσης. μούσῃ. μοῦσαν. τιμή. τιμῆς. τιμῇ. τιμήν. λόγος. λόγου. λόγῳ. λόγον. ἀγαθός. ἀγαθοῦ. ἀγαθῷ. ἀγαθόν. ξύλον. ξύλου. ξύλῳ. ξύλον. μενέλεως. μενέλεω. μενέλεων. αἴας. αἴαντος. αἴαντι. αἴαντα. φρυγών. φρυγόνος. φρυγόνι. φρυγόνα. γράμμα. γράμματος. γράμματι. γράμματα. Δημοσθένης.

δημοσθένεες· δημοσθένους· δημοσθένει· δημοσθένη· δημοσθένεα· δημοσθένη· ἀληθής· ἀληθέος· ἀληθοῦς· ἀληθεῖ· ἀληθεῖ· ἀληθέα· ἀληθῆ· ὄφις· ὄφιος· ὄφι, ὄφει· ὄφιν· βασιλεύς· βασιλέος· βασιλεῖ, βασιλεῖ· βασιλέα· διδώ· διδόος· διδοῦς· διδοῖ· διδοῖ· διδόα· διδώ. Τεῖχος· τείχεος, τείχους· τείχεϊ· τείχει· ἣν μὴ ἤτοι μακρὰ λέγουσα κωλύῃ. Μακρᾶς γὰρ οὔσης ἐπὶ τέλους οὐ δύναται προπαροξυνθῆναι λέξις. χωρὶς τῶν ἀττικῶν μενέλεως· μενέλεω. καὶ τὴν αι, καὶ οι ἐχόντων ἐπὶ τέλους δίκαιοι· θεράπαιναι· αἱ γάρ τοι· αι, καὶ οι· δίφθογγοι ἐπὶ τέλους λέξεων οὖσαι, ἀντὶ βραχέων μὲν λογίζονται, οὐκ εἰσὶ δὲ βραχεῖαι· μακραὶ γὰρ ἀεὶ αἱ δίφθογγοι· πλὴν τῶν εὐκτικῶν· καὶ τῶν ἐπιρρημάτων· τότε γὰρ οὐ μόνον μακραί εἰσιν, ἀλλὰ καὶ κωλύουσι τήν τε πρὸ αὐτῶν φύσει μακρὰν παραλήγουσαν περισπᾶσθαι, καὶ ἐπὶ τῇ προπαραληγούσῃ εἶναι τὸν τόνον. πείθοι ἄρα καὶ ποιήσαι ἐπὶ τοῦ εὐκτικοῦ παροξυτόνως· ὡσαύτως καὶ τετύφοι προσγράψαι· καὶ οἴκοι ἐπίρρημα· πρόπαλαι μέντοι προπαροξύνεται. Ἄνθρωπος ἄρα, ἀνθρώπου· ἀνθρώπῳ· λέαινα· λεαίνης· λεαίνῃ· αἴας, αἰάντοιν· αἰάντων· ἡ γὰρ τρισυλλαβία ἐπὶ τῶν προπαροξυτόνων· πρὸ γάρ τοι τριῶν συλλαβῶν, τόνος οὐ τίθεται. οἷον, ἄδωνις· ἀδώνιδος· ἀδώνιδι· σύνθεσις· συνθέσεως· συνθέσει, συνθέσει· σίνηπι· σινήπιος· σινήπι· σινήπι. Ἐξαιρεῖται τὰ εὐθυνεκρούμενα θηλυκά· παρεσχηματισμένα ἀρσενικοῖς. Ταῦτα γὰρ τοῖς ἀρσενικοῖς ὁμοτονεῖ· λίθινος· λίθινοι· λιθίνη· λίθιναι· δίκαιος· δίκαιοι· δικαία· δίκαιαι· πλάγιος, πλάγιοι· πλαγία, πλάγιαι· ἡμέτερος, ἡμέτεροι· ἡμετέρα· ἡμέτεραι, οὐδέτερος, οὐδέτεροι· οὐδετέρα, οὐδέτεραι. Ἔτι ἄμφω, καὶ δύο παροξυτόνως· ἀμφοῖν· δυοῖν περισπωμένως λέγεται. Καὶ ἔτι οὐχ ὁμοτονοῦσι ταῖς εὐθείαις κλητικαί τινες. οἷον δεσπότης ὦ δέσποτα· ἀκακήτης· ὦ ἀκάκητα· εὐρυόπης· ὦ εὐρύοπα· μητιέτης· ὦ μητίετα· πατήρ· ὦ πάτερ· θυγάτηρ· ὦ θύγατερ· δημήτηρ· ὦ δήμητερ· ἀνήρ· ὦ ἄνερ· σωτήρ· ὦ σῶτερ· ποσειδῶν· ὦ πόσειδον. καὶ ἕτεραι εἰς ον βραχὺ λήγουσαι ἀπὸ τῶν εἰς ων εὐθειῶν· κακοδαίμων, ὦ κακόδαιμον· ἐνοσίχθων, ὦ ἐνοσίχθον. πλὴν τῶν ἀπὸ τοῦ φρὴν συγκειμένων· ὦ δαΐφρον· ὦ περίφρον· καὶ ἔτι τοῦ λακεδαίμων, καὶ παλαίμων περισπωμένως. Ἔτι δημοσθένης· ὦ δημόσθενες· καὶ τὰ τοιαῦτα. Ἔτι γυνή· ὦ γύναι παρὰ τὸ γύναιξ ἄχρηστον. Τούτου δὲ καὶ αὗται αἱ πλάγιαι· γυναικός· γυναικί· γυναικῶν· γυναικοῖν οὐκ ἐπὶ τῆς αὐτῆς συλλαβῆς τὸν τόνον ἔχουσιν, ἐφ' ἧς καὶ ἡ εὐθεῖα. Τὸν αὐτὸν δὲ τρόπον, αἱ γενικαὶ τῶν πληθυντικῶν τῆς πρώτης, καὶ δευτέρας κλίσεως τῶν βαρυτόνων ἰσοσυλλάβων· ὡς εἴρηται ὁ αἰνείας, τῶν αἰνειῶν· ἡ μοῦσα, τῶν μουσῶν· ἡ ἀφύη δὲ τῶν ἀφύων σώζει· ὡσαύτως δὲ καὶ ὁ χρήστης τῶν χρήστων, καὶ ὁ χλούνης· τῶν χλούνων· καὶ αἱ ἐτησίαι τῶν ἐτησίων. Ἔτι τὰ τῶν δευτεροκλίτων παρεσχηματισμένα ἀρσενικοῖς εἰς ος καταληγομένοις· ταῦτα γὰρ ὁμοτονεῖ τῷ ἀρσενικῷ ἐπὶ τῆς γενικῆς τῶν πληθυντικῶν· ὁ ῥόδιος τῶν ῥοδίων· ἡ ῥοδία, τῶν ῥοδίων οὐ ῥοδιῶν· ὁ δίκαιος, τῶν δικαίων· ἡ δικαία, τῶν δικαίων, οὐ δικαιῶν· ὧν γε πέρι εἴρηται ἐπὶ τῆς δευτέρας κλίσεως τῶν ἰσοσυλλάβων. Ἔτι καὶ αἱ δισύλλαβοι τῶν πεμπτοκλίτων πλάγιαι, οὐκ ἐπὶ τῆς αὐτῆς συλλαβῆς, ἐφ' ἧς καὶ ἡ εὐθεῖα τὸν τόνον ἴσχουσιν· βοῦς, βοός, βοΐ, βοῶν, βοοῖν· γραῦς· γραός· γραΐ· γραῶν· γραοῖν· ἅλς, ἁλός· ἁλί· ἁλῶν· ἁλοῖν. καὶ ἐπὶ τῶν ὁμοίων ὡσαύτως. Ἔτι καὶ αὗται αἱ τοῦ μήτηρ, καὶ θυγάτηρ πλάγια, οὐ τὸν αὐτὸν τῇ εὐθείᾳ ἔχουσι τόνον· τῆς μητέρος, καὶ μητρός· τῇ μητέρι, καὶ μητρί· τὴν μητέρα· τὼ, καὶ ὦ μητέρε· αἱ καὶ ὦ μητέρες· ταῖς μητράσι· τὰς μητέρας. Τῆς θυγατέρος, καὶ θυγατρός· τῇ θυγατέρι, καὶ θυγατρί· τὴν θυγατέρα, καὶ θύγατρα· τὼ, καὶ ὦ θυγατέρε· αἱ, καὶ ὦ θυγατέρες· ταῖς θυγατράσι· τὰς θυγατέρας. ταῦτα γὰρ ἐντελῆ μὲν ὄντα παροξύνεται ἐπὶ τῶν πλαγίων, μητέρος, θυγατέρος, πεπονθότα δέ, ὀξύνεται· μητρός· θυγατρός. τούτου δὲ συγκοπεῖσα ἡ αἰτιατικὴ ποιητικῶς προπαροξύνεται θύγατρα.

Πρὸς τούτοις δὲ καὶ τοῦ δημήτηρ, αἱ πάσχουσαι τῆς δήμητρος· τῇ δήμητρι· τὴν δήμητρα προπαροξυτόνως· ὥσπερ καὶ τῆς δημήτερος· τῇ δημήτερι· τὴν δημήτερα. Ἔτι καὶ αἱ τοῦ ἀνήρ· τὸν ἄνδρα· ὦ ἄνερ· τὼ, καὶ ὦ ἄνδρε· οἱ καὶ ὦ ἄνδρες· τοὺς ἄνδρας.

Ε· ὁ καὶ ὦ παιάν· τοῦ παιᾶνος· τῷ παιᾶνι· τὸν παιᾶνα· Δ· τὼ, καὶ ὦ παιᾶνε· τοῖν παιάνοιν· Γ· οἱ καὶ ὦ παιᾶνες· τῶν παιάνων· τοῖς παιᾶσι· τοὺς παιᾶνας.

Τὰ εἰς ην ἀρσενικά τε καὶ θηλυκά.

Ε· ὁ καὶ ὦ σωλήν· τοῦ σωλῆνος· τῷ σωλῆνι· τὸν σωλῆνα· Δ· τὼ, καὶ ὦ σωλῆνε· τοῖν σωλήνοιν· Γ· οἱ, καὶ ὦ σωλῆνες· τῶν σωλήνων· τοῖς σωλῆσι· τοὺς σωλῆνας. Τὸν αὐτὸν δὲ τρόπον· τὰ εἰς ην ἅπαντα τὸ η σώζοντα κλίνεται· ἕλλην, ἕλληνος· λειχήν· λειχῆνος· πλὴν τῶν τε βαρυτόνων, παρασχηματισμὸν οὐδετέρων ἐχόντων ἐφ' ὧν δὴ τὸ η αὐτὸ εἰς ε με-

ταβάλλει· ἄρσην· ἄρσενος· τέρην τέρενος· ἄρσεν γὰρ καὶ τέρεν. καὶ τῶν ὀξυτονουμένων, οἷς τὸ μ̄ κλιτικόν· ποιμὴν, ποιμένος· λιμὴν λιμένος· πλὴν τοῦ δαιμὴν δαιμῆνος, καὶ τοῦ μὴν μηνός. καὶ τῶν μὴ ἐχόντων δὲ τὸ μ̄ κλιτικόν· ἀζὴν· ἀδὴν· φρὴν· αὐχὴν· τῷ ε̄ κλίνεται· ἀζένος· ἀδένος· φρενός· αὐχένος.

Τὰ εἰς ῖν.

Ε. ὁ, καὶ ὦ δελφίν· τοῦ δελφῖνος· τῷ δελφῖνι· τὸν δελφῖνα. Δ. τὼ, καὶ ὦ δελφῖνε· τοῖν δελφίνοιν. Γ. οἱ καὶ ὦ δελφῖνες· τῶν δελφίνων· τοῖς δελφῖσι· τοὺς δελφῖνας.

▲ εῖ δὲ εἰδέναι, ὅτι τὰ εἰς ῖν, ῥοπῇ τοῦ ν̄ εἰς σ, εὐθυολεκτεῖται. ὅθεν καὶ δικατάληκτα ὠνόμασται. τῇ γε μὴν κλίσει ἐμμένει τῇ αὐτῇ. ὡς γὰρ δελφὶν, δελφῖνος, οὕτω καὶ δελφίς, δελφῖνος. τὸν αὐτὸν δὲ τρόπον θὶν, καὶ θίς, θινός· σαλαμὶν, καὶ σαλαμὶς σαλαμῖνος· ἐλευσὶν, καὶ ἐλευσὶς, ἐλευσῖνος· ἀκτὶν, καὶ ἀκτὶς, ἀκτῖνος. κἀπὶ τῶν ἄλλων ὁμοίως.

Τ οὕτοις δὲ καὶ τὸ τίς μονοκατάληκτον παρακολουθεῖ. τινὸς γάρ. καὶ τὰ μὲν ἁπλᾶ, ὀξύνεται. ὡς τὰ εἰρημένα. τὰ δὲ σύνθετα, παροξύνεται. εὐάκτιν, χρυσάκτιν· τριγλώχιν. φυλάττει δὲ ἅπαντα πανταχοῦ τὸ ῑ μακρόν.

Τὰ εἰς ῡν.

Ε. ὁ καὶ ὦ φόρκυν· τοῦ φόρκυνος· τῷ φόρκυνι· τὸν φόρκυνα. Δ. τὼ, καὶ ὦ φόρκυνε, τοῖν φορκύνοιν. Γ. οἱ καὶ ὦ φόρκυνες· τῶν φορκύνων· τοῖς φόρκυσι· τοὺς φόρκυνας. Ὡσαύτως δὲ τὰ εἰς ῡν ἅπαντα μακρὸν τὸ ῡ φυλάττοντα ἐπὶ τῶν πλαγίων κλίνεται. τὸ φόρκυν δὲ καὶ ὁ φόρκυς τοῦ φόρκυνος. καὶ φόρκυ· τῷ φόρκυϊ, καὶ φόρκυ· τὸν φόρκυν. καὶ ὁ φόρκος, τοῦ φόρκου.

Τὰ εἰς ων.

Ε. ὁ, καὶ ὦ ἀγών· τοῦ ἀγῶνος· τῷ ἀγῶνι· τὸν ἀγῶνα. Δ. τὼ, καὶ ὦ ἀγῶνε· τοῖν ἀγώνοιν. Γ. οἱ καὶ ὦ ἀγῶνες· τῶν ἀγώνων· τοῖς ἀγῶσι· τοὺς ἀγῶνας.

Ε. ὁ, καὶ ὦ πλάτων· τοῦ πλάτωνος· τῷ πλάτωνι, τὸν πλάτωνα. Δ. τὼ, καὶ ὦ πλάτωνε· τοῖν πλατώνοιν. Γ. οἱ καὶ ὦ πλάτωνες· τῶν πλατώνων· τοῖς πλάτωσι· τοὺς πλάτωνας.

Ε. ὁ ἀγαμέμνων· τοῦ ἀγαμέμνονος· τῷ ἀγαμέμνονι· τὸν ἀγαμέμνονα. ὦ ἀγάμεμνον προπαροξυτόνως. Δ. τὼ, καὶ ὦ ἀγαμέμνονε· τοῖν ἀγαμεμνόνοιν. Γ. οἱ καὶ ὦ ἀγαμέμνονες· τῶν ἀγαμεμνόνων· τοῖς ἀγαμέμνοσι· τοὺς ἀγαμέμνονας.

Ε. ὁ καὶ ὦ ξενοφῶν· τοῦ ξενοφῶντος· τῷ ξενοφῶντι· τὸν ξενοφῶντα. Δ.

τὼ, καὶ ὦ ξενοφῶντε· τοῖν ξενοφώντοιν. Γ. οἱ, καὶ ὦ ξενοφῶντες· τῶν ξενοφώντων· τοῖς ξενοφῶσι· τοὺς ξενοφῶντας.

Περὶ γενικῆς τῶν εἰς ων ὀνομάτων.

Ε πειδὴ τῶν εἰς ων ὀνομάτων, τὰ μὲν ὀξύνεται· σαρπηδών· ἐλαφηβολιών· τὰ δὲ βαρύνεται· θέων· πλάτων· τὰ δὲ περισπᾶται· ξενοφῶν· λαοκῶν. καὶ τὰ μὲν τὸ ω̄ μακρὸν φυλάττοντα κλίνεται· θέωνος· πλάτωνος· τὰ δὲ μεταβάλλοντα· σαρπηδόνος· μέμνονος. τὰ δὲ καὶ τὸ τ̄ ἐπεισάγοντα, ξενοφῶντος λαοκῶντος. ὅπως δὲ τυγχάνοι τοῦτο γινόμενον κἀπὶ τῆς γενικῆς κἀπὶ τῶν ἄλλων πλαγίων ἀρσενικῶν τε, καὶ θηλυκῶν, καὶ κοινῶν, θεωροῖτο ἄν, ὡς οἷόν τε συντόμως, ὧδε.

Βαρύτονα ἀρσενικὰ σώζοντα τὸ ω̄.

Σ ῴζει μὲν οὖν τὸ μακρὸν ἐκ τῶν βαρυτόνων ἀρσενικῶν, ταυτί. ὅσα διχρόνῳ συνεσταλμένῳ παραλήγει· δευκαλίων, δευκαλίωνος· ἐνδυμίων, ἐνδυμίωνος· πυγμαλίων, πυγμαλίωνος· ἀμφιτρύων, ἀμφιτρύωνος· ὠρείων, ὠρείωνος, καὶ τὰ τοιαῦτα. τὸ ὠρείων δὲ ἀναλογώτερον σώζει τὸ ω̄, ὡς συστέλλον τὸ δίχρονον. ὡς παρθένει πίλη· τάτ' ἄστρα, καὶ τὸν ὠρίωνα δέρκομαι. εἰ ὦ υ —, ἴαμβος. ἔστι γὰρ μέτρον ἰαμβικὸν τρίμετρον ἀκατάληκτον· δεχόμενον κατὰ τὰς ἀρτίους χώρας, ἴαμβον, καὶ τρίβραχυν μόνον. ἐνίοτε δὲ καὶ ἀνάπαιστον. ὅμηρος μὲν γοῦν διὰ τὸ μέτρον ἐξέτεινε τὸ ῑ. ἥτ' αὐτοῦ στρέφεται. καὶ τ' ὠρίωνα δοκεύει.

Ε τι ὅσα καθαροκατάληκτα ἀρσενικὰ δισύλλαβα, βραχείᾳ παραληγόμενα· φάων, φάωνος· νέων, νέωνος· θέων, θέωνος· δίων, δίωνος. δεῖ δὲ προσθεῖναι μὴ ὑποβαλλόμενά τινι τῶν ἄλλων κανόνων. τὸ γὰρ χρέων. οὐ χρέωνος. ἀλλὰ χρέοντος. διὰ τοῦ ντ̄, καὶ ο̄ μικροῦ. ὡς μετοχικόν. καὶ τὸ λέων, καὶ δράκων, καὶ θεράπων. οὐ λέωνος, καὶ δράκωνος, καὶ θεράπωνος. ἀλλὰ λέοντος, καὶ δράκοντος, καὶ θεράποντος, διὰ τὸ ἔχειν εἰς αινα τὸ θηλυκὸν τὸ λέαινα. καὶ δράκαινα. καὶ θεράπαινα.

Ε τι ὅσα παρώνυμα, μὴ ὄντα παρασύνθετα ἀπὸ τῶν εἰς ο̄ς συνθέτων. θεός· θέων, θέωνος· ἱδρός· ἵδρων, ἵδρωνος· πλατύς· πλάτων, πλάτωνος· δρόμος· δρόμων, δρόμωνος.

Ε τι ὅσα εἰς ων πατρωνυμικά, ἀτρείων, ἀτρείωνος· πηλείων, πηλείωνος· κρονίων, κρονίωνος.

Ε τι ὅσα εἰς ων ὑποκοριστικά· σίμων, σίμωνος· βάκχων, βάκχωνος· λά-

κων, λάκωνος· μύπων, μύπωνος.

Ἔτι ὅσα εἰς ων ἐθνικά· καύκων, καύκωνος· κύδων, κύδωνος· ἵπων, ἵπωνος. λάκων, λάκωνος· καλμείων, καλμείωνος· ἀργείων, ἀργείωνος. ἔξω τοῦ τε κίκων, κίκονος· τοῦτο γὰρ κύριον μὲν ὄν, τηρεῖ τὸ μακρὸν κατὰ κλίσιν· ἐθνικὸν δέ, οὔ. καὶ τοῦ μέμνων, μέμνονος· τοῦτο γὰρ εἴτε ἐθνικὸν εἴη, εἴτε κύριον, μεταβάλλει.

Ἔτι ὅσα διὰ τοῦ εων ὑπὲρ δύο συλλαβάς· γελέων, γελέωνος· ἡρακλέων, ἡρακλέωνος· τυφέων, τυφέωνος· ποσειδέων, ποσειδέωνος. τὸ δὲ τελέων διὰ τοῦ ντ κλίνεται· τελέοντος.

Ἔτι ὅσα εἰς ων ἔχοντα πρὸ τοῦ ω σύμφωνον τὸ δ, μέσον· στράβων, στράβωνος· στίλβων, στίλβωνος· ζίβων, ζίβωνος· αἴδων, αἴδωνος· πώδων, πώδωνος· ἀείδων, ἀείδωνος· φαίδων, φαίδωνος· φείδων, φείδωνος· χλίδων, χλίδωνος· τὸ γὰρ πελάδων, πελάγοντος. καὶ ἁρπάδων, ἁρπάδοντος. καὶ ἐγκελέδων, ἐγκελέδοντος. καὶ ἀλκιμέδων, ἀλκιμέδοντος. καὶ αὐτομέδων, αὐτομέδοντος. καὶ τὰ τοιαῦτα εἰς τὸ βραχὺ μεταβάλλονται τῷ λόγῳ τῶν μετοχικῶν διὰ τοῦ ντ κλίνεται· κατὰ πύτων δὲ κατὰ πύτονος, σύνθετον. τὸ λάδων ὑπὸ μὲν ἀντιμάχου τῷ βραχεῖ κλίνεται· λάδονος· ὑπὸ δὲ τῆς κοινῆς, διὰ τοῦ ντ, καὶ διὰ βραχέος, λάδοντος. Ἔτι τὸ νέδων, ὁ μὲν καλλίμαχος τῷ λόγῳ τῶν μετοχικῶν, τῷ ντ κλίνει, νέδοντος· οἱ δὲ περὶ δίδυμον, καὶ ἀπίωνα τῷ μακρῷ· νέδωνος· καὶ ἀναλόγως. Ἔτι τὸ κνώδων, κνώδοντος μόνως, ὡς σαρπήδων, σαρπήδοντος βαρυτόνως· τῷ λόγῳ τῶν μετοχικῶν· καὶ ὅτι παρὰ τὸ ὀδοὺς τυγχάνει συντιθέμενον. Σοφοκλῆς,

Ὡς σ' ἀποσπάσω πυκνοῦ τοῦ δι' αἰόλου κνώδοντος.

Ἔτι ὅσα εἰς ων ἔχοντα πρὸ τοῦ ω σύμφωνον τὸ ζ τῶν διπλῶν, ἢ τὸ σ· κύρια μὲν ὄντα φυλάττει τὸ ω καὶ ἐπὶ τῶν πλαγίων. Ῥίζων, ῥίζωνος, ὁ καδμου υἱός. ἄζων, ἄζωνος πόλις λυκίας, καὶ ἀνδρός τινος ὄνομα· πρήξων, πρήξωνος· ἄξων, ἄξωνος· κτίσων, κτίσωνος, εἷς τῶν αἰγύπτου παίδων· λαύσων, λαύσωνος· καύσων, καύσωνος· βρύσων, βρύσωνος. πλὴν τοῦ ἰάσων, ἰάσονος· καὶ αἴσων, αἴσονος· ῥηματικὰ γάρ. καὶ ὀλίζων, ὀλίζονος. ὡς συγκριτικὸν γάρ.

Ἔτι ὅσα εἰς ων δισύλλαβα, ἔχοντα πρὸ τοῦ ω σύμφωνον τῶν ψιλῶν· καὶ δασέων συμφώνων· λάκων, λάκωνος· σίκων, σίκωνος· γλαύκων, γλαύκωνος. λάμπων, λάμπωνος· δούπων, δούπωνος· πλούτων, πλούτωνος· τρίπων, τρίπωνος· ἐκφάτων, ἐκφάτωνος· αἴθων, αἴθωνος· μόθων, μόθωνος· πίθων, πίθωνος· σίφων, σίφωνος· κύφων, κύφωνος· τύφων, τύφωνος.

γλίχων, γλίχωνος· βρύχων, βρύχωνος· γλήχων, γλήχωνος διὰ τοῦ η, ἐπεὶ μὴ ὦσι κοινὰ τῷ γένει. ἢ ἔχοντα τὸ θηλυκὸν διὰ τοῦ αινα. ἢ μετοχικά· ταῦτα γὰρ μεταβάλλει. οἷον, ὁ ἡγείτων· πέπων· γείτονος· πέπονος. δράκων, δράκοντος· ὅτι δράκαινα τὸ θηλυκόν· ἄκων, ἄκοντος, ὡς ἔχον τὸ θηλυκόν, ἄκαινα· φαέθων, φαέθοντος· πολυφλεγέθων, πολυφλεγέθοντος· πολυαστέρχων, πολυαστέρχοντος.

Ἔτι ὅσα εἰς ΤΙ τῶν ἀμεταβόλων ἔχοντα συλλαβοῦνται· σόλων, σόλωνος· δόλων, δόλωνος· ἄλων ἄλωνος· γύλων, γύλωνος· φίλων, φίλωνος· ἀπόλλων, ἀπόλλωνος· ἀσκάλων, ἀσκάλωνος. παλαίμων, παλαίμωνος. πολέμων, πολέμωνος· ἀρτέμων, ἀρτέμωνος· νασάμων, νασάμωνος· τίμων, τίμωνος· ἄμμων, ἄμμωνος· σίμων, σίμωνος· ζήνων, ζήνωνος· χάρων, χάρωνος· χείρων, χείρωνος· ἐπὶ τοῦ κενταύρου· νέβρων, νέβρωνος. Ἐξαιρείσθω τὰ εἰς μων, ὑπὲρ δύο συλλαβάς· διπλοῦν τὸ μμ ἔχοντα πρὸ τοῦ ω· ἐγχέμμων ἐγχέμμονος· παιδοθρέμμων, παιδοθρέμμονος· ὑδατοθρέμμων, ὑδατοθρέμμονος· φιλάμμων, φιλάμμονος· τὸ γὰρ καὶ πλὴν τοῦ ἀπλοῦ σώζει κλίσιν· φημὶ δὴ τοῦ ἄμμωνος, ὡς παρ' καὶ τὸ φοιβάμμων, φοιβάμμωνος. Ἔτι τὰ εἰς νων ὑπὲρ δύο συλλαβάς, ἃ δὴ πλὴν τῶν μετοχικῶν κλίσιν ἀποδέχεται· ὑγιαίνων, ὑγιαίνοντος, ἰατρός τις· θρασύνων, θρασύνοντος· αὐξαίνων, αὐξαίνοντος· ἀχέρων ἔτι, καὶ γέρων, καὶ τὰ ἐν τούτοις ὁμοίως κλίνεται. Ἔτι τὸ στήμων, στήμονος· καὶ τέλμων, τέλμονος· καὶ στρύμων, στρύμονος. Καὶ τὰ ὑποβαλλόμενά τινι τῶν ἄλλων κανόνων, ὡς τὰ συγκριτικά, καὶ ῥηματικά, καὶ κοινὰ τῷ γένει.

Ἔτι ὅσα τῇ αι παραλήγοντα· αἰσαίων, αἰσαίωνος· ἀλκμαίων, ἀλκμαίωνος· ἀθλιωαίων, ἀθλιωαίωνος· βαίων, βαίωνος· ἀκταίων, ἀκταίωνος.

Βαρύτονα ἀρσενικὰ εἰς τὸ βραχὺ μεταβάλλοντα.

Μεταβάλλει δὲ τὸ μακρὸν εἰς τὸ βραχὺ ἐπὶ τῆς γενικῆς, καὶ ἐπὶ τῶν ἄλλων πλαγίων ταῦτα. Ὅσα εἰς ων συγκριτικά· βελτίων, βελτίονος· καλλίων, καλλίονος· κρείττων, κρείττονος· χερείων, χερείονος, χείρων, χείρονος· μείζων, μείζονος· ἥττων, ἥττονος· γλυκίων, γλυκίονος· βραχίων, βραχίονος.

Ἔτι ὅσα παρασύνθετα παρώνυμα ἀπὸ τῶν εἰς ος συνθέτων, αἷμα, ἄναιμος· ἀναίμων, ἀναίμονος· κῦμα, ἔγκυμος· ἐγκύμων, ἐγκύμονος· πυγή, κατάπυγος· καταπύγων, καταπύγονος· πεῖρα, ἄπειρος· ἀπείρων, ἀπείρονος· χεῖμα, δύσχειμος· δυσχείμων, δυσχείμονος.

Ἔτι ὅσα, καθαροκατάληκτα, διχρόνῳ ἐκτεταμένῳ παραλήγονται· μαχάων, μαχάονος· ἱκετάων, ἱκετάονος· ἰάων, ἰάονος· ὑπερείων, ὑπερείονος· ἰξίων, ἰξίονος· πανδίων, πανδίονος· ἐχίων, ἐχίονος· κίων, κίονος· πίων πίονος. Καὶ ὅλως ὅσα εἰς ων καθαροκατάληκτα, μὴ ὄντα ὑπὲρ δύο συλλαβάς, εἰ ἔχει πρὸ τοῦ τέλους φύσει μακρόν, εἴτ' ἄλλο τι, εἴτε συγκριτικὰ εἴη· παιήων, παιήονος· μείων, μείονος· μαίων, μαίονος· λώων, λώονος· πρώων, πρώονος· πρώονες ἄκροι.

Ἔτι ὅσα κοινὰ τῷ γένει· ὁ· ἡ· σώφρων, σώφρονος· τέκτων, τέκτονος· γείτων, γείτονος, τλήμων, τλήμονος· πλὴν τοῦ αἴθων, αἴθωνος· καὶ εἴρων, εἴρωνος· καὶ τῶν συνθέτων παρὰ τὰ εἰς ων φυλαττόντων τὸ μακρὸν ἐπὶ τῶν πλαγίων· ὡς ἀπὸ τοῦ αἰών, αἰῶνος· καὶ ἀπὸ τοῦ χιτών, χιτῶνος, ὁ· ἡ· εὐαίων εὐαίωνος· ἀχίτων, ἀχίτωνος.

Ἔτι ὅσα ῥηματικά· κτήσω, ἀκτήμων, ἀκτήμονος· εὐκτήμων, εὐκτήμονος· τλήσω· τλήμων, τλήμονος· γνώσω· γνώμων, γνώμονος· ἐλεήσω, ἐλεήμων, ἐλεήμονος· παλαίσω, παλαίμων, παλαίμονος· δαίσω, δαίμων, δαίμονος· αἰδήσω, αἰδήμων, αἰδήμονος.

Ἔτι ὅσα μετοχικά· φαέθων, φαέθοντος· φλεγέθων, φλεγέθοντος· ἀχέρων, ἀχέροντος· ἀλκιμέδων, ἀλκιμέδοντος· ταῦτα γὰρ τὴν τῶν μετοχικῶν φυλάττονται κλίσιν, τῷ βραχεῖ, καὶ τῷ ντ· τυγχάνει κλινόμενα· εἰ μὴ κατὰ λέξεως τοιαύτης τύχοι, ἥτις ἐν ὀνόματι ἄλλην ἠγάπησε κλίσιν· τὸ μέντοι φέρων, φέρωνος κλιθέν, ὡς παρὰ μυρτίλῳ, φέρωνος ἄρα πού ἐστιν ἡ συναυλία, ἠκολούθησε τοῖς ὁμοίοις κυρίοις· ἔτι τὸ πέρων, πέρωνος.

Ἔτι ὅσα εἰς δων ὑπὲρ δισύλλαβα, μὴ ὄντα παρώνυμα, ὡς κορύδων, κορύδωνος· κινάδων, κινάδωνος· μὴ δὲ σύνθετα παρὰ τὸ ὀδούς· ἅτινα τῇ μὲν προσθέσει τοῦ ντ· τῇ δὲ ἐξαιρέσει τοῦ τ κλίνεται· ἀμφόδων γοῦν ἀμφόδοντος, καὶ ἀμφόδονος· τὰ δὲ μὴ τοιαῦτα εἰς δων· ὑπὲρ δισύλλαβα τὸ ω τρέπονται διὰ τοῦ ντ· κλίνεται· ἀκίδων, ἀκίδοντος· λαομέδων, λαομέδοντος· σαρπήδων, σαρπήδοντος· ἡ γὰρ σαρπήδονος γενική, ἀπὸ τῆς σαρπηδὼν ἀξωομένης εὐθείας ἐστίν.

Ἔτι ὅσα παρὰ τὸ ὀδοὺς συντιθέμενα· μεταβάλλονται εἰς τὸ βραχὺ διὰ τοῦ ντ κλίνεται· χαλκόδων, χαλκόδοντος· θερμώδων, θερμώδοντος· χαυλιόδων, χαυλιόδοντος· ἀμφόδων, ἀμφόδοντος· ταῦτα μέντοι καὶ ἐξαιρέσει τοῦ τ· κλίνεται· ὡς εἴρηται.

Ἔτι ὅσα εἰς ων δισύλλαβα, ἔχοντα πρὸ τοῦ ω, ἔν τι τῶν διπλῶν, ἢ τὸ σ·

μὴ ὄντα κύρια· ἄξων, ἄξονος· μείζων, μείζονος· κρείσσων, κρείσσονος· μάσσων, μάσσονος σημαῖνον τὸ μείζων· κύριον γὰρ ὂν φυλάττει, πόλεως ἐν πελοποννήσῳ· ἔτι τὸ, καύσων παρώνυμον, παρὰ τὴν καῦσιν καὶ αὐτὸ φυλάττει.

Ἔτι ὅσα δισύλλαβα, ἔχοντα δύο σύμφωνα κατὰ σύλληψιν· μὴ ὄντα παρώνυμα· ἴδμων, ἴδμονος· φράδμων, φράδμονος· τὰ γὰρ τοιαῦτα παρώνυμα ὄντα, σώζει· παρὰ γοῦν τὸ ἁβρός· ἄβρων, ἄβρωνος.

Ἔτι ὅσα τὸ θηλυκὸν διὰ τοῦ αινα· ἃ δὴ καὶ τῷ· ντ· κλίνεται· ὁ λέων, τοῦ λέοντος· καὶ ὁ δράκων, τοῦ δράκοντος· καὶ ὁ θεράπων, τοῦ θεράποντος· ὅτι λέαινα τὸ θηλυκόν· καὶ δράκαινα καὶ θεράπαινα· λάκων δέ, οὐ λάκαινα τὸ θηλυκόν, λάκωνος, ὑποκοριστικὸν γάρ.

Ἔτι ὅσα εἰς ων σύνθετα· εἴτε βαρύτονα εἴη, εἴτε ὀξύτονα, τὴν τῶν ἁπλῶν φυλάττει κλίσιν· χθών, χθονός· ἐνοσίχθων, ἐνοσίχθονος· μέμνων, μέμνονος· ἀγαμέμνων, ἀγαμέμνονος· χιτών, χιτῶνος· χαλκοχίτων, χαλκοχίτωνος· κοιτών, κοιτῶνος· προκοιτών, προκοιτῶνος.

Ἔτι ὅσα σύνθετα παρὰ τὸ φρήν· ὁ ἄφρων, τοῦ ἄφρονος· ὁ δαΐφρων· τοῦ δαΐφρονος.

Ὀξύτονα ἀρσενικὰ σώζοντα τὸ μακρόν.

Τῶν ὀξυτόνων ἀρσενικῶν σώζει μὲν κατὰ κλίσιν τὸ μακρόν, ταυτί.

Ὅσα περιεκτικά· ἐλαιών, ἐλαιῶνος· δαφνών, δαφνῶνος· ἀγών, ἀγῶνος· περιέχει γὰρ γυμνάσια καὶ παλαίσματα.

Ἔτι ὅσα καθαροκατάληκτα· μὴ ὄντα ἐθνικά· μήτε διχρόνῳ συνεσταλμένῳ παραληγόμενα· παιών, παιῶνος ἐπὶ ὕμνου· πλειών, πλειῶνος· ὁ ἐνιαυτός· κρανειών, κρανειῶνος, ὄνομα πόλεως· αἰών, αἰῶνος· ἀπατεών, ἀπατεῶνος· λυμεών, λυμεῶνος· ἐλεών, ἐλεῶνος, οἳ τ' ἐλεῶνα νέμοντο· λεγεών, λεγεῶνος· εἴη δ' ἂν ταῦτα καὶ ὡς περιεκτικά.

Ἔτι ὅσα μονοσύλλαβα· θών, θωνός· κλών, κλωνός· πρών, πρωνός· πλὴν τοῦ χθών, χθονός· θηλυκὸν γάρ.

Ἔτι ὅσα τῶν μηνῶν παρ' ἀθηναίοις· γαμηλιών, γαμηλιῶνος· ἐλαφηβολιών, ἐλαφηβολιῶνος· μουνιχιών, μουνιχιῶνος· θαργηλιών, θαργηλιῶνος· σκιρροφοριών, σκιρροφοριῶνος· ἑκατομβαιών, ἑκατομβαιῶνος· μεταγειτνιών, μεταγειτνιῶνος· βοηδρομιών, βοηδρομιῶνος· μαιμακτηριών, μαιμακτηριῶνος· πυανεψιών, πυανεψιῶνος· ἀνθεστηριών, ἀνθεστηριῶνος· ποσειδεών, ποσειδεῶνος. Ταύτην δὲ τὴν τάξιν τῶν μηνῶν παρέ-

πως μὲν ἐν ταῦθα ὠφελίμως δὲ προστεθείκαμεν ὀλίγοις γνωστὴν τῶν ῥωμαϊκῶν παίδων. ἀρξάμενοι ἀπὸ τοῦ γαμηλιῶνος. ὅς ἐστι ἰανουάριος πρῶτος τῶν μηνῶν, ὡς ἡμεῖς ἄγομεν. εἶτα ὑποζυγιώτης ἐλαφηβολιῶνα. ὅς τις ἡμῖν φεβρουάριος. εἶτα μουνυχιῶνα, ὅς μάρτιος. εἶτα τοὺς λοιπούς, καθάπερ λέγονται ἐφεξῆς. Ἀθηναῖοι δὲ ἦγον ἀρξάμενοι ἀπὸ ἑκατομβαιῶνος, ὅς ἡμῖν ἰούνιος. διὰ τὸ τὰς τροπὰς γίνεσθαι περὶ αὐτόν. ἀπὸ γὰρ θερινῶν τροπῶν ἡ ἀρχὴ ἦν ἐκείνοις τοῦ ἔτους. ὡς παρὰ ῥωμαίοις ὕστερον ἀπὸ τῶν χειμερινῶν. Γέγραπταί γε μὴν περὶ τούτων σαφῶς τε, καὶ ἀκριβῶς Θεοδώρῳ τῷ γαζῇ ἐν τῷ περὶ μηνῶν.

Ἀλλ᾽ ἐπειδὴ τούτων τῶν μηνῶν ὀνομάτων, οὐκ οἶδά πως εὐθὺς μαθόντες, ἐπιλανθανόμεθα ῥᾳδίως, τὰς ἀρχικὰς αὐτῶν συλλαβὰς στιχηδόν, ὡς περ στίχοις ῥυθμοῖς διαιροῦντες, ἐγράψαμεν ὧδε.

Γᾱμ.	Ἐλᾱ.	Μουνυ.	Θαργη.
Σκῑρ.	Ἑκᾱ.	Μετα.	Βοη.
Μαι.	Πυαν.	Ἀνθε.	Ποσει.

Ἀλλὰ περὶ τούτων, ἅλις. νῦν δὲ εἰς τὰ λοιπὰ τῶν εἰς ων ὀξυτόνων ἀρσενικῶν. τὸ μακρὸν κατὰ κλίσιν σωζόντων, ἐπανέλθωμεν.

Ἔτι σώζει τὸ μακρόν. ὅσα εἰς βων. βουβών, βουβῶνος. ἀρραβών, ἀρραβῶνος. ἀλαβών, ἀλαβῶνος.

Ἔτι ὅσα πρὸ τοῦ ω ἔχοντα ἕν τι τῶν ψιλῶν, ἢ τῶν δασέων συμφώνων, μὴ ὄντα ἐθνικά. ἀγκών, ἀγκῶνος. χαλκών, χαλκῶνος. πευκών, πευκῶνος. ἱππών, ἱππῶνος. ἰτών, ἰτῶνος. πλατανιστών, πλατανιστῶνος. τὸ δὲ βιστών, βιστόνος ἐθνικὸν ὄν, τρέπει. πιθών, πιθῶνος. κιθών, κιθῶνος. οὕτω δὲ λέγουσι τὸν χιτῶνα οἱ ἴωνες. μαραθών, μαραθῶνος. νυμφών, νυμφῶνος. προμαχών, προμαχῶνος.

Ἔτι ὅσα εἰς λων ἢ εἰς ρων. αὐλών, αὐλῶνος. πυλών, πυλῶνος. μυλών, μυλῶνος. οἰορών, οἰορῶνος. χαιρών, χαιρῶνος. κιθαιρών, κιθαιρῶνος. βαιρών, βαιρῶνος. θυρών, θυρῶνος. τὸ δὲ μιμαλλών, μιμαλλόνος τρέπον εἰς τὸ βραχύ, οὐκ ἀντίκειται. ἡ βάκχη γάρ.

Ἔτι ὅσα εἰς μων δισύλλαβα εἰ εὐθεῖα τόπου τάσσοιτο. κευθμών, κευθμῶνος. χειμών, χειμῶνος. λειμών, λειμῶνος. εἰ δὲ οὔ, μεταβάλλει. στρυμών, στρυμόνος. κρεμών, κρεμόνος. ὁ ἀκρέμων.

Ἔτι ὅσα εἰς μων ὑπὲρ δύο συλλαβάς. μὴ τῷ ε. παραληγόμενα, τελαμών, τελαμῶνος. πλαταμών, πλαταμῶνος. τὸ δὲ θηλαμών, θηλαμῶνος, μεταβάλλει. θηλυκὸν γάρ. καὶ τὸ δαιτυμών, δαιτυμόνος, κοινὸν

ὂν τῷ γένει. καὶ τὸ ἐθυμών, ἐθυμόνος, ὡς ἐθνικόν, ὥσπερ καὶ τὸ παφλαγών, παφλαγόνος.

Ἔτι ὅσα εἰς νων. πλατανών, πλατανῶνος. ξενών, ξενῶνος. πλὴν τοῦ κανών, κανόνος.

Ὀξύτονα ἀρσενικὰ τρέποντα.

Μεταβάλλει δὲ εἰς τὸ βραχὺ ἐκ τῶν ὀξυτόνων ταυτί. ὅσα κοινὰ τῷ γένει. ὁ ἡ. κηδεμών, κηδεμόνος. περικτιών, περικτιόνος. ἀλαζών, ἀλαζόνος.

Ἔτι ὅσα ἐθνικά. μυγδών, μυγδόνος. μακεδών, μακεδόνος. σιθών, σιθόνος. παιών, παιόνος. παφλαγών, παφλαγόνος. λαιστρυγών, λαιστρυγόνος. πηλαγών, πηλαγόνος. τοὐναντίον δὲ εὐθεῖα τῶν βαρυτόνων. σώζει γάρ, ὡς εἴρηται ἀνωτέρω εὐθεῖα τῶν εἰς ων βαρυτόνων. ὀξύτονα δὲ οὔ. ἀμφικτυών, ἀμφικτυόνος. γηρυών, γηρυόνος. ἀλεκτρυών, ἀλεκτρυόνος. κερκυών, κερκυόνος. περικτιών, περικτιόνος.

Καθόλου δὲ ἰστέον. ὅτι, εὐθεῖα μὲν τῶν βαρυτόνων, εἰ μὲν διχρόνῳ συνεσταλμένῳ παραλήγεται, τῷ μακρῷ κλίνεται. ὡς εἴρηται. πυγμαλίων, πυγμαλίωνος. εἰ δὲ ἐκτεταμένῳ. τῷ μικρῷ ἀμφίων, ἀμφίονος. εὐθεῖα δὲ τῶν ὀξυτόνων, εἴτε διχρόνῳ συνεσταλμένῳ, εἴτ᾽ ἐκτεταμένῳ, παραλήγεται, μεταβάλλει. περικτιών, περικτιόνος. στρυμών, στρυμόνος, ποταμός. τὸ δὲ κνακυών, κνακυῶνος. καὶ τὸ ἀσιών, ἀσιῶνος. καὶ τὸ κηρβιών, κηρβιῶνος. σώζει.

Ἔτι ὅσα εἰς γων. πηλαγών, πηλαγόνος, διὰ τοῦ α ἐθνικὸν ὄν. πηλεγών, πηλεγόνος διὰ τοῦ ε κύριον. τὸ δὲ ἀγών περιεκτικὸν ὄν, φυλάττει.

Ἔτι ὅσα εἰς δων μὴ τῷ υ παραληγόμενα. ὀδών, ὀδόνος. ὁ ὀδούς. σινδών, σινδόνος. λέγεται γὰρ καὶ ἀρσενικῶς ἐν κρῆσσι παρ᾽ αἰσχύλῳ. λεπτὸς δὲ σινδὼν ἀμφιβαλλέσθω χροΐ. ἀπιδών, ἀπιδόνος. ἥρως τις μακεδών, μακεδόνος. σαρπηδών, σαρπηδόνος. τὸ μέντοι καλυδών, καὶ τὸ ἀμυδών, ἥρωές τινες. ἀφ᾽ ὧν καὶ αἱ πόλεις, τὸ υ ψιλὸν ἔχον ἐν τῇ παραληγούσῃ. καὶ διὰ τοῦ ω μακροῦ ἐκλίθη. καλυδῶνος. ἀμυδῶνος.

Ἔτι ὅσα ἕν τι τῶν διπλῶν ἢ τὸ σ ἔχοντα πρὸ τοῦ ω, ἐπίθετα ὄντα. ἢ ἐθνικά. αὐξών, αὐξόνος. ἀμαζών, ἀμαζόνος. λέγεται γὰρ καὶ ἀρσενικῶς. ὡς παρὰ κρατίνῳ. ἵν᾽ ἀμαζόνες ἄνδρες ἔασιν. ἀλαζών, ἀλαζόνος. Τὸ δὲ κιστών, κιστῶνος, ὡς περιεκτικὸν σώζει. ὡς τὸ παρθενών. ἔτι καὶ τὸ ὀλιζών κύριον ὄν. ἐξ οὗ ἡ πόλις. ὀλιζῶνά τε τρηχεῖαν.

Ἔτι ὅσα εἰς μων ὑπὲρ δύο συλλαβὰς τῷ ε παραληγόμενα. ἡγεμών, ἡγε

μόνος· κηδεμὼν, κηδεμόνος· ἀκρεμὼν, ἀκρεμόνος.

Βαρύτονα εἰς ων θηλυκὰ τὸ μακρὸν σώζοντα.

Σώζει μὲν οὖν τὸ μακρὸν ἐκ τῶν βαρυτόνων θηλυκῶν, ὅσα ἐστὶ πόλεων· κρότων, κρότωνος· μήκων, μήκωνος· αὔζων, αὔζωνος· ἄρβων, ἄρβωνος· ἀσκάλων, ἀσκάλωνος· ἀδέρκων, ἀδέρκωνος· ῥίζων, ῥίζωνος· καὶ ἕτερα. τὸ δὲ λακεδαίμων, λακεδαίμονος μεταβάλλει διὰ τὸ τὰ σύνθετα τοῖς ἁπλοῖς ἀκολουθεῖν· δαίμων γὰρ, δαίμονος.

Ὀξύτονα εἰς ων θηλυκὰ τὸ μακρὸν σώζοντα.

Τῶν δὲ ὀξυτόνων θηλυκῶν σώζει μὲν τὸ μακρὸν κατὰ κλίσιν ταῦτα. ὅσα ἐστὶ πόλεων μὴ ἐπὶ τὸ η παραληγόμενα. κολοφὼν, κολοφῶνος· σιδὼν, σιδῶνος· καλυδὼν, καλυδῶνος· σκιὼν, σκιῶνος· μαραθὼν, μαραθῶνος· ἰτὼν, ἰτῶνος· καὶ τὰ ὅμοια. τοιγαροῦν ὅσα εἰς ων ὀξύτονα θηλυκὰ ἐστὶ πόλεων, διὰ τοῦ ο μικροῦ τυγχάνει κλινόμενα, ποιητικὴν ἔχει συστολήν· πλὴν τοῦ ὀλιζῶνος, καὶ τῶν εἰς δων ἐπὶ τὸ η παραληγόντων· ὧν γε πέρι, μικρῷ ὕστερον ἐροῦμεν. ταῦτα γὰρ διὰ τὸν χαρακτῆρα ἐπὶ βραχεῖ ἐκλίθη. ἀνάπαλιν δὲ, ὅσα τῶν εἰς ων ὀξυτόνων, μὴ ἐστὶ πόλεων ὄντα, ἐπὶ μακρῷ κλίνεται, ποιητικὴν ἔχει ἔκτασιν.

Μεταβάλλει δὲ ταῦτα. ὅσα εἰς ων ὀξύτονα θηλυκὰ μὴ ἐστὶ πόλεων ὄντα· ἔξω τῶν εἰς δων ἐπὶ τὸ η παραληγομένων καὶ τοῦ ὀλιζῶνος, μεταβάλλει εἰς τὸ βραχύ· φυτὼν, φυτόνος· εἰκὼν, εἰκόνος· θηλαμὼν, θηλαμόνος· χελιδὼν, χελιδόνος· ἀηδὼν, ἀηδόνος. ἐν δὲ τοῖς ὀξυτόνοις ποιητικοῖς, τοῖς μὴ οὖσιν ἐστὶ πόλεων σημειούμεθά τινα φυλάττοντα τὸ μακρὸν ποιητικῶς· οἷον, τυφεδὼν, τυφεδῶνος.

Ἔτι ὅσα εἰς δων ἐστὶ πόλεων ἐπὶ τὸ η παραληγόμενα· χαλκηδὼν, χαλκηδόνος· καρχηδὼν, καρχηδόνος· ἀνθηδὼν, ἀνθηδόνος· ἀπειληδὼν, ἀπειληδόνος· πεφρηδὼν, πεφρηδόνος· ἰασηδὼν, ἰασηδόνος· τορηδὼν, τορηδόνος· σαρπηδὼν, σαρπηδόνος. ἔστι δὲ καὶ ἥρωός τινος ὄνομα.

Στέφανος, ὁ περὶ πόλεων γράψας, περὶ τῶν εἰς ων ἐστὶ πόλεων ἔγραψε τάδε ἐν τῷ αἴσων. τὰ γὰρ εἰς ων ἐστὶ πόλεων, ὀξύνεται. εἰ μὴ διαστολὴν ἔχοι σημαινομένου ὡς τὸ κρότων, βαρύνεται. ὀξυνόμενον γὰρ δηλοῖ ζωΰφιόν τι. ἢ χαρακτῆρι ὑπάγοιτο. ὡς τὸ ἵπων συναπενεχθὲν τῷ τείπων· γείτων· βίτων· ἠϊών· κρανιών· γυρτών· νεών· σεσημείωται τὸ ἄλ

πων. ἔστι γὰρ πόλις ἰταλίας. πάντων ἡ κλίσις διὰ τοῦ ω. δεῖ δὲ προσθεῖναι. χωρὶς εἰ μὴ τῷ η παραλήγοιτο.

Τὰ εἰς ων περισπώμενα.

Τὰ εἰς ων περισπώμενα καὶ σώζει ἅπαντα τὸ μακρόν. καὶ διὰ τοῦ ντ κλίνεται· ξενοφῶν, ξενοφῶντος· δημοφῶν, δημοφῶντος· λαοκῶν, λαοκῶντος· ἔξω τοῦ ποσειδῶνος καὶ ταῶνος· καὶ τυφῶνος. δημοφόων δὲ δημοφόωντος· καὶ λαοκόων, λαοκόωντος· καὶ δημοκόων, δημοκόωντος, τοῦ ο μικροῦ παρεντεθέντος διὰ τὸ μέτρον, ποιητικά. τοιγαροῦν εἴ τις εἴποι καταλογάδην, δημοφόων, λαοκόων, ἀντὶ τοῦ δημοφῶν, λαοκῶν, ἁμαρτάνει.

Ἀναγκαῖον δέ τι, καὶ χρήσιμόν μοι δοκεῖ προσθεῖναι τοῖς εἰρημένοις ὅσα γράφει περὶ τῶν εἰς ων περισπωμένων ὀνομάτων ἡρωδιανὸς ἐν τῷ περὶ μονήρους λέξεως· ἔνθα μονῆρες εἶναι ὄνομα τὸ ποσειδῶν διϊσχυρίζεται.

Ἐκ τοῦ ἡρωδιανοῦ.

Οὐδὲν εἰς δων λῆγον ὀξυνόμενον ὑπὲρ δύο συλλαβάς, φυλάττει τὸ ω κατὰ τὴν γενικήν. χωρὶς εἰ μὴ παραλήγοιτο τῷ υ. ὡς τὸ κλυδών· ἀμυδών. τὰ γὰρ ἄλλα τρέπει τὸ ω εἰς ο· οἷον, χελιδών, χελιδόνος· εἴτε τὸ ὄρνεον, εἴτε ὁ περὶ τελευτῶντος γράψας. σαρπηδών, σαρπηδόνος· εἴτε ὁ ἥρως, εἴτε ἡ πέτρα· εἴτε ἡ ἀκτή· εἴτε ἡ νῆσος· ὡς παρὰ σοφοκλεῖ ἐν αἰχμαλωτίσιν εἴρηται σαρπηδὼν ἀκτὴ ἐν τυμπανισταῖς. ἡμεῖς δ᾽ ἐν ἄστροις, ἔνθα σαρπηδὼν πέτρα. καὶ ἡ νῆσος ἰδίως ἐν ὠκεανῷ γοργόνων οἰκητήριον οὖσα. ὡς ὁ τὰ κύπρια φησί. τῷ δ᾽ ὑποκυσαμένη τέκε γοργόνας δεινὰ πέλωρα· αἳ σαρπηδόνα ναῖον ἐπ᾽ ὠκεανῷ βαθυδίνῃ. νῆσον πετρήεσσαν τε θρηδών· φαρκιδών· ἀσπιδών· μυρμιδών· ἀσπιδών· ἀσπληδών· μακηδών. καὶ καθόλου τὰ διὰ τοῦ ηδων· καὶ εδων, εἴτε ἀρσενικά, εἴτε θηλυκά, διὰ τοῦ ο τὴν κλίσιν ποιεῖ. τὸ γὰρ παρὰ τῷ κυρηναίῳ· τὸ δὲ ναῦ πολλὴν τυφεδῶνα λεγαίνης, ἕνεκα μέτρου, τὸ ω ἐφύλαξεν. εἴπερ οὖν τὸ ποσειδῶν ὀξύνεται, ὀφείλει διὰ τοῦ ο κλίνεσθαι. οὐδέν τε τῶν εἰς δων ὀξυτόνων διὰ τοῦ εων, καὶ αων λέγεται. τὸ μέν τοι προκείμενον εἴρηται καὶ ποσειδέων, καὶ ποσειδάων. ἴσως περισπᾶται. ἀλλ᾽ οὐδὲν εἰς ων λῆγον περισπώμενον ὑπὲρ δύο συλλαβάς, φύσει μακρᾷ παραλήγει. ἀντιφῶν· ξενοφῶν· εὐρυφῶν ὁ μήρου υἱός· νικοφῶν, ὁ κωμικός· ἀριστοφῶν· ἀγλαοφῶν· κατά τινας, βελλεροφῶν· καὶ ἄλλα πολλὰ τοιαῦτα. χαρναβῶν. σοφοκλῆς τριπτολέμῳ· καὶ χαρναβῶντος· ὅπου τὸ ὅς γε ἀρ

χει τὰ ναῦ ὀργηπῶν ἀλημοῖς ἤδε ῥυτπῶν· συλοσῶν· δεξιηρῶν. δὲ μονί/
δης δὲ μακρῶν παιδοτρίβης τις ἱστορεῖ. Καλλικῶν δηΐκων ἡρακλέους
ὁ περὶ ἰλιάδος γράψας, καὶ ὀδυσσείας. Ἀθηναικῶν, ὁ τὰ σαμοθρᾴ/
κια γράψας. λακικῶν. Ἄλλο πλῆθός ἐστι τοιούτων ὀνομάτων μὴ ἐχόν/
των πρὸ τέλους φύσει μακράν. πάντα τε τὰ προειρημένα διὰ τοῦ ντ
κλίνεται. τὸ δὲ ποσειδῶν οὐχ οὕτως ἐκλίθη. Τὰ περισπώμενα εἰ λέ/
γοιτο ἐν πλείοσι συλλαβαῖς, διὰ τοῦ ο λέγεται. δημοφόων. Καλλίμα/
χος, νύμφαι δημοφόων ἄδικε ξεῖνε καλλιρόων. Εὐφορίων, κακώτερε
καλλικόωντος. ἱπποθόων, εὔμολπος. Δόλιχός τε, καὶ ἱπποθόων
μεγάθυμος. Τὸ μέντοι ποσειδῶν, ἢ ποσειδέων, ἢ ποσειδάων λέγεται.
Οὐδὲν περισπώμενον ὑπὲρ δύο συλλαβὰς τρέπει τὸ εω εἰς α παρ' αἰο/
λεῦσιν, ἢ δωριεῦσι. τὸ δέ γε ποσειδῶν ἐτράπη. ποσειδὰν γὰρ λέγεται.
Οὐδὲν περισπώμενον εὐθείας κλητικῆς εἰς ον περατοῦται. πῶς οὖν πόσειδον
λέγεται ἡ κλητική. Οὐδὲν περισπώμενον ἀποκόπτεται κατὰ γενικὴν
πτῶσιν. τοῦτο δ' ἐξεκόπη παρ' ἀρχειστίᾳ ἐν τῷ ἀνταίῳ. ἔνθα φασί. Ἀνταῖος
αἰγαίου ποσειδῶ παῖς. πατὴρ δ' ἐμός. Οὐδὲν περισπώμενον εἰς δᾶν
λήγει. τὸ δὲ ποσειδᾶν ἔχει δ πρὸ τοῦ α. δῆλον οὖν ὅτι κατὰ ταῦτα πάν/
τα μονῆρές ἐστι τὸ ὄνομα. οὔτε τοῖς ὀξυνομένοις τὴν ἀκολουθίαν
σώζον, οὔτε τοῖς περισπωμένοις. τὴν δὲ τούτων λύσιν ἐν τῇ κλίσει τῶν
ὀνομάτων δηλοῦμεν.

Εἴρηται δὲ ὁ δαίμων παρὰ ἀλκαίῳ διὰ τοῦ α, μένοντος τοῦ ν. ποσειδᾶν.
Οὐδέ πω ποσειδᾶν ἁλμυρὸν ἐπεφέλιξε πόντον. Παρὰ δὲ τοῖς δωριεῦ/
σι τρέπεται καὶ τὸ σ, εἰς τ. ποτειδᾶν κατὰ τὴν ὀξεῖαν τάσιν. ὅθεν γενι/
κὴ παρ' ἐπιχάρμῳ, ἐν δευτέρῳ. τοῦ ποτειδᾶνος δὲ χρυσὸν υἱὸν ἱππόνακμ/
πτεν. Εἴρηται δὲ καὶ ποτίδας. ὡς κορκίδας. ἔνθεν αἰτιατικὴ ἐν κύ/
κλωπι. αἰνέτω ποτίδαν κοιλότερος ἅλμας πολύ. σώφρων τε. τὴν κλη/
τικὴν ἔφη ποτίδα φραστοχαῖτα. ὁ δὲ τοὺς εἵλωτας γράψας, τὴν γε/
νικὴν φησι. τέμενος ποτιδᾶ ποτιδάου. ἴσως δέ ἐστί τι καὶ ποσειδεύς. ὅθεν
ὡς τὸ ἡράκλειον παρὰ τὸ ἡρακλέης. οὕτω ποσείδειον. καὶ ποσειδήϊον
ἄγλαον ἄλσος. ὁμοίως δὲ καὶ ἀρσενικὸν κτητικόν. ποσείδιος, ὡς ἡρά/
κλειος ἄεθλος. Σοφοκλῆς ποιμέσι τειχῶν καὶ δὴ τοῖς ποσειδίοις θειγ/
κοῖς ἀποσεισαμένη. ποσειδέων δὲ παροξυτόνως παρ' ἴωσι λέγεται ὁ
θεός. ὀξυτονηθὲν δὲ ὄνομα, μῆνα δηλοῖ. παρὰ δὲ τῷ ποιητῇ διηνεκῶς
ποσειδάων. μένοντος τοῦ σ. καὶ πρὸ τοῦ τέλους τοῦ α ὑπάρχοντος. πα/
ρά μέντοι βοιωτοῖς. ποτειδάων τραπέντος τοῦ σ εἰς τ. κορίννα βοιω/

τοὶ τοῦδε μάκαρ κρονίδη. τοῦ ποτειδάωνος ἄναξ βοιωτε. ὅτι πολλοὺς
ἐποίησε σχηματισμοὺς καὶ ἐν ἑτέροις εἴρηται.

Ταῦτα δὴ περὶ τῶν εἰς ων ὀνομάτων ἅτινα πολυσχιδῆ ἐστι. καὶ σχεδὸν ἀ/
περίληπτα. νυνὶ δὲ περὶ τῶν εἰς ξ ληγόντων, λέγωμεν.

Τὰ εἰς αξ ἀρσενικά.

Ε. ὁ, καὶ ὦ θώραξ. τοῦ θώρακος. τῷ θώρακι. τὸν θώρακα. Δ. τὼ, καὶ ὦ θώ/
ρακε. τοῖν θωράκοιν. Γ. οἱ, καὶ ὦ θώρακες. τῶν θωράκων. τοῖς θώρα/
ξι. τοὺς θώρακας.

Δεῖ δὲ εἰδέναι, ὅτι τὰ εἰς αξ, εἰ μὲν μὴ ἔχοι ἐπὶ εὐθείας τὸ γ. μήτε ἀπὸ τῶν εἰς
ζω ῥημάτων παράγοιτο, διὰ τοῦ κ κλίνεται. πράξ, πρακός. βλάξ, βλα/
κός. δράξ, δρακός. σπάξ, σπακός. ὁ κύων παρὰ πέρσαις. γλαύξ,
γλαυκός. κόραξ, κόρακος. πίδαξ, πίδακος. εἰ δὲ ἔχοι ἐπὶ εὐθείας τὸ, γ,
ἢ ῥῆμα ἀντιπαρακείμενον εἰς ζω λῆγον, διὰ τοῦ γ. στράγξ, στραγός. τὸ δὲ ῥάξ,
ῥαγός, τὸ τῆς σταφυλῆς, σημειῶδες. ἔχει μέν γε ἀπολογίαν. ὅτι μόνον μα/
κρὸν ἔχει τὸ α. καὶ τὸ στάξ, σταγός. ὅτι παράκειται τῷ στάζω. καὶ τὸ στι/
γών. Ταῦτα μὲν περὶ τῶν ἁπλῶν. Τὰ δὲ σύνθετα, εἰ μὲν εἴη ἀπὸ ὀ/
νομάτων, βαρύνεται. καὶ ὁμοίως τοῖς ἁπλοῖς κλίνεται. ἄναξ, ἄνακτος.
ἀστυάναξ, ἀστυάνακτος. εἰ δὲ ἀπὸ ῥημάτων. ὀξύνεται, διὰ τοῦ γ κλινόμενα. βα/
στάζω, νεκροβαστάξ, νεκροβαστάγος. σφάζω, αὐτοσφάξ, αὐτοσφάγος.
ἀποσφάξ, ἀποσφάγος. τὸ πολυπάταξ σημειῶδες κατὰ τὸν τόνον. ἴ/
σως δὲ ἀπὸ τοῦ πολυπάταγος μεταπέπλασται.

Τὰ εἰς εξ

Τὰ δὲ εἰς εξ σπανιάζοντα κλίνεται. τὸ μὲν διὰ τοῦ κ. κρέξ κρεκός. τὸ δὲ διὰ τοῦ γ.
λέλεξ, λέλεγος. Τὰ εἰς ηξ.

Ε. ὁ, καὶ ὦ μύρμηξ. τοῦ μύρμηκος. τῷ μύρμηκι, τὸν μύρμηκα. Δ. τὼ, καὶ ὦ
μύρμηκε. τοῖν μυρμήκοιν. Γ. οἱ, καὶ ὦ μύρμηκες. τῶν μυρμήκων. τοῖς μύρ/
μηξι. τοὺς μύρμηκας. Δεῖ δὲ εἰδέναι, ὅτι τὰ εἰς ηξ. ἁπλᾶ μὲν ὄντα, βα/
ρύνεται, καὶ διὰ τοῦ κ. κλίνεται. νάρθηξ, νάρθηκος. σκώληξ, σκώλη/
κος. τὸ δὲ σφήξ, σφηκός. καὶ βήξ, βηκός. καὶ κήξ. κηκός. ὄρνεόν τε, καὶ
θηλυκόν. ἐναλίη κήξ, διὰ μονοσυλλαβίαν, ὠξύνθη. σεσημείωται τὸ
ὑπλήξ, ὑπλῆγος. Σύνθετα δὲ ὀξύνεται, διὰ τοῦ γ κλινόμενα. οἰστρο/
πλήξ, οἰστροπλῆγος. βουπλήξ, βουπλῆγος. παραπλήξ, παραπλῆ/
γος. ἀπλήξ, ἀπλῆγος. τυγχάνει δὲ συγκείμενα παρὰ τὸ πλήττω.

Τὰ εἰς ιξ.

Ε. ὁ, καὶ ὦ πέρδιξ. τοῦ πέρδικος. τῷ πέρδικι. τὸν πέρδικα. Δ. τὼ, καὶ ὦ πέρδικε. τοῖν περδίκοιν. Γ. οἱ, καὶ ὦ πέρδικες. τῶν περδίκων. τοῖς πέρδιξι. τοὺς πέρδικας. Δεῖ δὲ εἰδέναι, ὅτι τὰ εἰς ιξ ἅπαντα βαρύνεται. διὰ τοῦ κ κλινόμενα. φοῖνιξ, φοίνικος. ὁμῆλιξ, ὁμήλικος. ἧλιξ, ἥλικος. σεσημειωμένου τοῦ τέττιγος, ἔχοντος ῥῆμα αὐτὸ παρακείμενον εἰς ζω λῆγον. ἤγουν τὸ τεττίζω. εἴρηται δὲ ἁπλόως παρὰ Ἀθηναίοις, καὶ Δωριεῦσι. τέττικος. καὶ τοῦ ὄρνιξ, ὄρνιχος δωρικῶς. τὸ δὲ σφίγξ, σφιγγός. καὶ ἴγξ, ἰγγός. διὰ τοῦ γ. ὅτι πρὸ τοῦ ξ τὸ γ ἔχει. ὡς τὸ σάλπιγξ, σάλπιγγος. Τὰ δὲ κοινὰ ἀπὸ τῶν θηλυκῶν γινόμενα, ὁμοίως τοῖς ἁπλοῖς κλίνεται. ὁ, ἡ καλλίθριξ, καλλίτριχος. ὅτι θρίξ, τριχός. τοῦ θ εἰς τ μεταπεσόντος. ὅτι οὐκ ἴσχυσε δασὺ δασέος ἡγεῖσθαι. ὁμόστιξ, ὁμόστιχος. ὅτι στίξ, στιχός. Τούτων δὲ τὰ μονοσύλλαβα εἰ μὲν ἔχοι τὸ φ, διὰ τοῦ κ κλίνεται. φρίξ, φρικός. σφίξ, σφικός. ἡ τῶν Θηβαίων σφίγξ. εἰ δὲ μὴ ἔχοι τὸ φ, διὰ τοῦ χ. πνίξ, πνιχός. στίξ, στιχός. θρίξ, θριχός. τά γε μὴν ἐθνικὰ, διὰ τοῦ γ. Βρίξ, Βριγός. τί γὰρ οὖν τὰ εἰς ξ. τὰ τῆς δευτέρας συζυγίας τῶν βαρυτόνων τηρεῖ σύμφωνα ἐπὶ τῶν πλαγίων. κ. γ. χ. κόρακος. ὄρτυγος. ὄνυχος.

Τὰ εἰς οξ.

Τὰ εἰς οξ σπάνια ὄντα, διὰ τοῦ κ κλίνεται. καππάδοξ, καππάδοκος. ὁ καὶ καππαδόκης λέγεται. ἰδοὺ καὶ ἕτερος καππαδόκης. φλὸξ δὲ φλογός, θηλυκὸν ὄν, διὰ τοῦ γ κλίνεται.

Τὰ εἰς υξ.

Ε. ὁ, καὶ ὦ κῆρυξ. τοῦ κήρυκος. τῷ κήρυκι. τὸν κήρυκα. Δ. τὼ, καὶ ὦ κήρυκε. τοῖν κηρύκοιν. Γ. οἱ, καὶ ὦ κήρυκες. τῶν κηρύκων. τοῖς κήρυξι. τοὺς κήρυκας. Δεῖ δὲ εἰδέναι, ὅτι τὰ εἰς υξ δισύλλαβα ἁπλᾶ, φύσει μακρᾷ παραληγόμενα. καὶ οὐχὶ δυοῖν συμφώνοιν ἐκφέρεται, ὧν θάτερον τῆς πρώτης συζυγίας τῶν βαρυτόνων. καὶ ὅσα διὰ τοῦ ε παραλήγει, διὰ τοῦ κ κλίνεται. δοῖδυξ, δοίδυκος. κῆρυξ, κήρυκος. αἶθυξ, αἴθυκος. θράνυξ, θράνυκος. βόμβυξ, βόμβυκος. βέβρυξ, βέβρυκος. ἄμπυξ, ἄμπυκος. ἔρυξ, ἔρυκος. σεσημείωται τὸ ἧλυξ, ἥλυγος. τὰ δὲ ἄλλα, μὴ σύνθετα ὄντα, διὰ τοῦ γ. κόκκυξ, κόκκυγος. ὄρτυξ, ὄρτυγος. φρύξ, φρυγός. σεσημειώσθω τὸ κάλυξ, κάλυκος. καὶ ὄνυξ, ὄνυχος. ἔχει δὲ τὸ μὲν κάλυξ ἀπολογίαν. κάλυψ γὰρ ἦν. ὡς δῆλον καὶ ἐκ τῆς ἐτυμολογίας. τὸ γὰρ κεκαλυμμένον σημαίνει ἐστὶν. διαλλάξαι οὖν τὴν κατάληξιν, διήλλαξε καὶ τὴν

κλίσιν. ὅπερ καὶ ἐφ᾽ ἑτέροις θεωρεῖται. ὄρνιξ, ὄρνιχος. τὸ δὲ ὄνυξ, μόνον διὰ τοῦ χ. Τὰ δὲ σύνθετα, τὴν τῶν ἁπλῶν φυλάττει κλίσιν. τανυπτέρυξ, τανυπτέρυγος. μονῶνυξ, μονώνυχος. διῶνυξ, διώνυχος. ἀκρῶνυξ, ἀκρώνυχος. τὸ δὲ πρόσφυξ, πρόσφυγος. καὶ σύζυξ, σύζυγος. καὶ ὁμόζυξ, ὁμόζυγος τῶν ῥημάτων τετηρήκασι τὰ σύμφωνα. Καὶ πάντα ὑπὲρ μίαν συλλαβὴν ὄντα, βαρύνεται.

Τὰ εἰς ωξ.

Ε. ὁ, καὶ ὦ πτὼξ, τοῦ πτωκός. τῷ πτωκί. τὸν πτῶκα. Δ. τὼ, καὶ ὦ πτῶκε. τοῖν πτωκοῖν. Γ. οἱ, καὶ ὦ πτῶκες. τῶν πτωκῶν. τοῖς πτωξί. τοὺς πτῶκας. Ἰστέον δὲ, ὅτι τὰ εἰς ωξ ἁπλᾶ μὲν ὄντα, διὰ τοῦ κ κλίνεται. ταῦτά γε μὴν σπάνια. πτὼξ, πτωκός. βὼξ, βωκός. ἔξω τοῦ ῥὼξ, ῥωγός. τὰ δὲ σύνθετα, εἰ μὲν εἴη ἀπὸ ὀνομάτων, τὴν τῶν ἁπλῶν φυλάττει κλίσιν. πτὼξ, πτωκός. πολύπτωξ, πολύπτωκος. εἰ δὲ ἀπὸ ῥημάτων, αὐτῶν γε τηρεῖ τὰ σύμφωνα. θηροδιὼξ, θηροδιῶκος. αἰγοδιὼξ, αἰγοδιῶκος. παρὰ τὸ διώκω γάρ. κυαμοτρὼξ, κυαμοτρῶγος. γραμματοτρὼξ, γραμματοτρῶγος. θυλακοτρὼξ, θυλακοτρῶγος. πάντα δὲ, κἄντε ἁπλᾶ, κἄντε σύνθετα ᾖ, ὀξύνεται.

Τὰ εἰς αρ ἀρσενικά.

Ε. ὁ, καὶ ὦ κάρ. τοῦ καρός. τῷ καρί. τὸν κάρα. Δ. τὼ, καὶ ὦ κάρε. τοῖν καροῖν. Γ. οἱ, καὶ ὦ κάρες. τῶν καρῶν. τοῖς καρσί. τοὺς κάρας.

Ε. ὁ, καὶ ὦ μάκαρ. τοῦ μάκαρος. τῷ μάκαρι. τὸν μάκαρα. Δ. τὼ, καὶ ὦ μάκαρε. τοῖν μακάροιν. Γ. οἱ, καὶ ὦ μάκαρες. τῶν μακάρων. τοῖς μάκαρσι. τοὺς μάκαρας.

Τὰ εἰς ηρ.

Ε. ὁ, καὶ ὦ θήρ. τοῦ θηρός. τῷ θηρί. τὸν θῆρα. Δ. τὼ, καὶ ὦ θῆρε. τοῖν θηροῖν. Γ. οἱ, καὶ ὦ θῆρες. τῶν θηρῶν. τοῖς θηρσί. τοὺς θῆρας. Οὕτω δὲ καὶ τὸ φήρ. καὶ σήρ. καὶ ἕτερα εἰς ηρ μονοσύλλαβα καὶ ὀξύνεται, καὶ τὸ η φυλάττοντα κλίνεται. τὰ δὲ ὑπὲρ μίαν συλλαβὴν, ἁπλᾶ μὲν μὴ κύρια ὄντα, μηδὲ ἐθνικὰ, ὀξύνεται. ἀήρ. αἰθήρ. τὰ δὲ κύρια, καὶ ἐθνικὰ, προσηγορικοῖς συνεμπίπτοντα, βαρύνεται. Ἴβηρ. ἀσίχηρ. ἐν συνθέσει δὲ, τὰ μὲν διὰ τοῦ η κλινόμενα, φυλάττει τὴν ὀξεῖαν. πανθήρ. ἀμαλλοδετήρ. ὀβολοστατήρ. τὰ δὲ διὰ τοῦ ε, βαρύνεται. πολυδάηρ. Καὶ τῶν βαρυτόνων, ὅσα μὲν μακρᾷ παραλήγεται, διὰ τοῦ ε. δᾶηρ, δᾶερος. φράτηρ, φράτερος. ὅσα δὲ βραχείᾳ, διὰ τοῦ η. Ἴβηρ, Ἴβηρος. ἐείηρ, ἐείηρος. τὰ δὲ ὀξυνόμενα. ὡς ἐπὶ τὸ πλεῖστον, ῥηματικά ἐστιν. Καὶ ὅσα μὲν παρὰ ἐνεστῶτα, διὰ

τ. αἰθῶ, αἰθήρ, αἰθέρος. δαίω, δαήρ, δαέρος. ἄω. ἀήρ, ἀέρος. πατῶ. πατήρ, πατέρος. ἵστημι. ἀστήρ, ἀστέρος. στατήρ, στατῆρος. γῶ τὸ λαμβάνω καὶ δέχομαι. γαστήρ, γαστέρος. θηλυκὸν ὄν. ὅσα δὲ ἀπὸ παρακειμένων, οἷον ἠλέλασται, λουτήρ, λουτῆρος. ἤλαται, ἐλατήρ, ἐλατῆρος. κέκαμπται, καμπτήρ, καμπτῆρος. σέσωσται, σωστήρ, καὶ ἐκβολῇ τοῦ σ. σωτήρ, σωτῆρος. τούτοις ὁμοίως τὸ σπινθήρ, σπινθῆρος. καὶ ἐλευθήρ, ἐλευθῆρος, μὴ ῥηματικὰ ὄντα. τούτων δὴ ἁπάντων ἡ αὐτή ἐστιν εὐθεῖα, καὶ κλητική. ὁ, καὶ ὦ ἴβηρ. φράτηρ. ἔξω τῶν ἄνερ. δᾶερ. πάτερ. σῶτερ ἐν τοῖς ἀρσενικοῖς.

Συνοπτικώτερον περὶ τῶν εἰς ηρ.

Τὰ εἰς ηρ πάντα, τὸ η φυλάττοντα, κλίνεται. πλὴν τῶν βαρυτόνων μακρὰν ἐχόντων τὴν παραλήγουσαν. ἀνήρ, ἀνέρος. φράτηρ, φράτερος. καὶ τούτων γε. πατήρ πατέρος. μήτηρ, μητέρος. δημήτηρ, δημήτερος. θυγάτηρ, θυγατέρος. δαήρ, δαέρος. ἀήρ, ἀέρος. ἀνήρ, ἀνέρος. ἀστήρ, ἀστέρος. γαστήρ, γαστέρος. αἰθήρ, αἰθέρος.

Ε. ὁ, καὶ ὦ ἴβηρ. τοῦ ἴβηρος. τῷ ἴβηρι. τὸν ἴβηρα. Δ. τὼ, καὶ ὦ ἴβηρε. τοῖν ἰβήροιν. Π. οἱ, καὶ ὦ ἴβηρες. τῶν ἰβήρων. τοῖς ἴβηρσι. τοὺς ἴβηρας.

Ε. ὁ σωτήρ, τοῦ σωτῆρος. τῷ σωτῆρι. τὸν σωτῆρα. ὦ σῶτερ. Δ. τὼ, καὶ ὦ σωτῆρε. τοῖν σωτήροιν. Π. οἱ, καὶ ὦ σωτῆρες. τῶν σωτήρων. τοῖς σωτῆρσι. τοὺς σωτῆρας.

Ε. ὁ ἀνήρ, τοῦ ἀνέρος, καὶ ἀνδρός. τῷ ἀνέρι, καὶ ἀνδρί. τὸν ἀνέρα, καὶ ἄνδρα. ὦ ἄνερ. Δ. τὼ, καὶ ὦ ἀνέρε, καὶ ἄνδρε. τοῖν ἀνέροιν, καὶ ἀνδροῖν. Π. οἱ, καὶ ὦ ἀνέρες, καὶ ἄνδρες. τῶν ἀνέρων, καὶ ἀνδρῶν. τοῖς ἀνδράσι, καὶ ἄνδρεσσι ποιητικῶς. τοὺς ἀνέρας καὶ ἄνδρας.

Ε. ὁ πατήρ. τοῦ πατέρος, καὶ πατρός. τῷ πατέρι, καὶ πατρί. τὸν πατέρα μόνον. ὦ πάτερ. Δ. τὼ, καὶ ὦ πατέρε. τοῖν πατέροιν. Π. οἱ, καὶ ὦ πατέρες. τῶν πατέρων. τοῖς πατράσι. τοὺς πατέρας.

Τὰ εἰς ωρ.

Ε. ὁ, καὶ ὦ ἕκτωρ. τοῦ ἕκτορος. τῷ ἕκτορι. τὸν ἕκτορα. Δ. τὼ, καὶ ὦ ἕκτορε. τοῖν ἑκτόροιν. Π. οἱ, καὶ ὦ ἕκτορες. τῶν ἑκτόρων. τοῖς ἕκτορσι. τοὺς ἕκτορας. Δεῖ δὲ εἰδέναι. ὅτι τὰ εἰς ωρ, ὀξύτονα μὲν ὄντα, εἴτε μονοσύλλαβα, εἴτε ὑπὲρ δύο συλλαβάς, διὰ τοῦ ω κλίνεται. φώρ. φωρός. ἰχώρ. ἰχῶρος. βαρύτονα δὲ, διὰ τοῦ ο. νέστωρ νέστορος. ἀπάτωρ, ἀπάτορος. εἰ μὴ ἔχει τὸ λ, ἢ τὸ μ πρὸ τοῦ ωρ, τότε γὰρ τὸ ω φυλάττοντα κλίνεται. κέλωρ, κέλωρος. τέκμωρ, τέκμωρος. Ὀξύνεται μὲν γὰρ πάντα τὰ μονοσύλλαβα. βαρύνεται δὲ τὰ ὑπὲρ μίαν συλλαβήν. σεσημείωται τὸ ἰχώρ. ὀξυτονηθέν.

Τὰ εἰς ειρ.

Τὰ εἰς ειρ. ἀρσενικὰ, προσθέσει τοῦ ος κλίνεται. φθείρ. φθειρός. ἀντίχειρ ἀντίχειρος.

Τὰ εἰς ας ἀρσενικά.

Ε. ὁ, καὶ ὦ ἀρκάς. τοῦ ἀρκάδος. τῷ ἀρκάδι. τὸν ἀρκάδα. Δ. τὼ, καὶ ὦ ἀρκάδε. τοῖν ἀρκάδοιν. Π. οἱ, καὶ ὦ ἀρκάδες. τῶν ἀρκάδων. τοῖς ἀρκάσι. τοὺς ἀρκάδας. Ἰστέον δὲ, ὅτι τὰ εἰς ας ἀρσενικὰ ὑπὲρ μίαν συλλαβὴν, ἤτοι ὀξύνεται. ἢ βαρύνεται. Τὰ μὲν οὖν ὀξυνόμενα, εἰ μὲν συνεσταλμένον ἔχει τὸ α. διὰ τοῦ δ κλίνεται. ἀρκάς, ἀρκάδος. φυγάς, φυγάδος. ἐθάς, ἐθάδος. εἰ δὲ ἐκτεταμένον. διὰ τοῦ ντ. ἱμάς, ἱμάντος. ἀνδριάς. ἀνδριάντος. τὰ δὲ βαρύτονα, ἃ δὴ πάντα μακροκατάληκτά ἐστι. διὰ τοῦ ντ. αἴας, αἴαντος. ἄτλας, ἄτλαντος. γίγας, γίγαντος. κάλχας, κάλχαντος. ἐλέφας, ἐλέφαντος. πολυδάμας, πολυδάμαντος. ἀθάμας, ἀθάμαντος. πλὴν τῶν ἐχόντων τὰ θηλυκὰ εἰς αινα μετασχηματιζόμενα. μέλας γὰρ, μέλανος. ὅτι μέλαινα. καὶ τάλας τάλανος. ὅτι τάλαινα. καὶ τοῦ λᾶας λάαος. ὃ καὶ βραχυκατάληκτόν ἐστι. παραπλησίως δὲ τούτοις κλίνεται καὶ τὸ πᾶς περισπώμενόν τε, καὶ μονοσύλλαβον. τοῦ παντὸς γὰρ ὀξυτόνως. καὶ τὰ λοιπὰ μονοσύλλαβα ὀξυνόμενά τε, καὶ κύρια ὄντα. ζάς, ζαντός. πράς, πραντός. τὸ φθάς δὲ, φθάντος, βαρυτόνως. τῆς γὰρ μετοχῆς ἀπενεγκάμενον κατάληξιν, ὁμοίως ταῖς μετοχαῖς καὶ κατὰ τὴν γενικὴν ἠνάγκασται τονοῦσθαι. ὡς γὰρ στάς, στάντος βαρυτόνως, οὕτω καὶ φθάς, φθάντος.

Ὅσα μὲν οὖν κλίνεται ὀνόματα, τῇ τῶν ὁμοίων παραθέσει κανονίζεται. Ἔστι δὲ τὸ ὅμοιον ἐν γένει. ἐν εἴδει. ἐν σχήματι. ἐν ἀριθμῷ. ἐν τόνῳ. ἐν πτώσει. ἐν καταλήξει. ἐν παρατελεύτῳ συλλαβῇ. ἐν χρόνῳ. ἐν ποσότητι συλλαβῶν. πολλάκις δὲ καὶ ἐν ἐπιπλοκῇ συμφώνου. εἰ δέ τι παρὰ ταῦτα γένοιτο, ἀνόμοιος ἡ κλίσις γίνεται. Ἐν γένει μὲν, τοξότης. φιλότης. τὸ μὲν γὰρ ἀρσενικόν. τὸ δὲ θηλυκόν. Ἐν εἴδει δέ. ὀλυμπιονίκης. πολυνίκης. τὸ μὲν κύριον. τὸ δὲ προσηγορικόν. Ἐν σχήματι δέ. ἰσότης. σωκράτης. τὸ μὲν ἁπλοῦν. τὸ δὲ σύνθετον. Ἐν ἀριθμῷ δὲ, ἰχθῦς, ἰχθύος. ὅτε ἐστὶν ἑνικὸν ἰχθῦς, ἰχθύων, ὅτε πληθυντικὸν, κατὰ κρᾶσιν ἀπὸ τοῦ

ἰχθύες. Ἐν τόνῳ δέ· ἥρως, εὐρώς· τὸ μὲν βαρύτονον διὰ καθαροῦ τοῦ ος· τὸ δὲ ὀξύτονον, διὰ τοῦ τος. Ἐν πτώσει δέ, ἡ ξέστης· ἐλάτης· τὸ μὲν εὐθεῖα, τὸ δὲ γενική. Ἐν καταλήξει δέ, καλός· βραδύς· διαλλάξαντα τὴν κατάληξιν, διήλλαξε καὶ τὴν κλίσιν. Ἐν παρατελεύτῳ δὲ συλλαβῇ· πέρσης· λάχης· τὸ μὲν βραχεῖα παραληγόμενον, περιττοσυλλάβως κλίνεται· λάχητος· τὸ δὲ μακρᾷ, ἰσοσυλλάβως· πέρσου. Ἐν χρόνῳ δέ, ἀρκάς· ἱμάς· τὸ μὲν γὰρ συνεσταλμένον διὰ τοῦ δος, ἀρκάδος· τὸ δ' ἐκτεταμένον διὰ τοῦ ντ κλίνεται· ἱμάντος. Ἐν ποσότητι συλλαβῶν δέ, λυσίας· βίας· τὸ μὲν γὰρ δισύλλαβον διὰ τοῦ ντ· βίαντος· τὸ δὲ ὑπὲρ δύο συλλαβάς, ἰσοσυλλάβως λυσίου. Πολλάκις δὲ καὶ διαφόρου συμφώνου ἕνεκα ἑτέρως ἐκλίθη· τὸ μὲν γὰρ σωλήν, σωλῆνος, σώζει τὸ η· τὸ δὲ ὑμήν, ὑμένος· τρέπει· αἴτιον τούτου τὸ μ, εἰωθὸς τρέπειν τὸ η εἰς ε. Τὸ δὲ κρὰς προσηγορικόν· κρατός· ὡς γὰρ διήλλαξε περὶ τὸ σημαινόμενον, διήλλαξε καὶ περὶ τὴν κλίσιν· κρατὸς ἀπ' ἀθανάτοιο· ἀντὶ τοῦ ἀπὸ τῆς ἀθανάτου κεφαλῆς.

Τὰ εἰς αις.

Ε. ὁ, καὶ ἡ παῖς· τοῦ, καὶ τῆς παιδός· τῷ, καὶ τῇ παιδί· τόν, καὶ τὴν παῖδα· ὦ παῖ, καὶ ὦ παῖς. Δ. τώ, καὶ τά, καὶ ὦ παῖδε· τοῖν, καὶ ταῖν παίδοιν περισπωμένως. Π. οἱ, καὶ αἱ, καὶ ὦ παῖδες· τῶν παίδων, βαρυτόνως· τοῖς, καὶ ταῖς παισί· τούς, καὶ τὰς παῖδας. τοῦτο γε μόνον εἰς αις λήγει κοινὸν γένους καὶ περισπᾶται· ἐκ συναιρέσεως γάρ· πάϊς, παῖς· ἡ δὲ δαΐς, μόνον ὂν θηλυκόν, διὰ τοῦ τ κλίνεται· τῆς δαιτός· τὰ δὲ παρὰ τὸ παῖς σύνθετα κατὰ τὸ ἁπλοῦν διὰ τοῦ δ· ἄπαις, ἄπαιδος· εὔπαις, εὔπαιδος.

Τὰ εἰς ης ἀρσενικά.

Ε. ὁ, καὶ ὦ δαέρης· τοῦ δαέρητος· τῷ δαέρητι· τὸν δαέρητα. Δ. τώ, καὶ ὦ δαέρητε· τοῖν δαερήτοιν. Π. οἱ, καὶ ὦ δαέρητες· τῶν δαερήτων· τοῖς δαέρησι· τοὺς δαέρητας. εἰ δὲ καὶ ὁ δαέρης, τοῦ δαέρου κλίνεται, τούτῳ γε παραπλησίως ἤγουν περιττοσυλλάβως διὰ τοῦ τ· καὶ ἰσοσυλλάβως διὰ τοῦ ου κλίνεται καὶ ταῦτα· ὁ γύγης· κόμης· λάχης· μέγης· μόντης· μύλης· μήτης· πέλης· πύλης· πύδης· χάρης· χρέμης· καὶ τὰ ὅμοια.

Ἰστέον δέ, ὅτι τὰ εἰς ης περιττοσύλλαβα, μὴ πρώτης κλίσεως τῶν συνῃρημένων ὄντα, εἴτε βαρύτονα, εἴτε ὀξύτονα, εἴτε περισπώμενα εἴη, διὰ τοῦ τ κλίνεται· λέβητος· λάχητος· πένητος· πλάνητος· κράτητος· ἅ γε ῥηματικὰ παρὰ τὸ λείβω· λήχω· πένω· πλανῶ· κρατῶ. Ἔτι κρής, κρη-

τός· γνής, γνητός· θής, θητός· ἀργής, ἀργῆτος· ἀβλής, ἀβλῆτος· ἀδμής, ἀδμῆτος· ἐπιάλης, ἐπιάλητος· ὑπέρης, ὑπέρητος· δαφνῆς δὲ περισπωμένως· δαφνῆντος· παρὰ τὸ δαφνήεις· τιμῆς, τιμῆντος παρὰ τὸ τιμήεις· φθογγῆς, φθογγῆντος, παρὰ τὸ φθογγήεις. Ἔστι δὲ πρώτης κλίσεως τῶν συνῃρημένων· ὅσα παρ' οὐδέτερον εἰς ος σύγκειται· τοῦ ο εἰς η μετακεκινημένου· παρὰ μὲν τὸ σθένος, δημοσθένης, δημοσθένεος, δημοσθένους· παρὰ δὲ τὸ γένος· διογένης, διογένεος, διογένους. παρὰ δὲ τὸ τέλος· ἀριστοτέλης, ἀριστοτέλεος, ἀριστοτέλους. παρὰ δὲ τὸ κλέος· ἡρακλέης, ἡρακλέεος, ἡρακλέους· καὶ κατὰ κρᾶσιν· ἡρακλῆς, ἡρακλέος, ἡρακλοῦς. παρὰ δὲ τὸ ἦθος· κακοήθης, κακοήθεος, κακοήθους. παρὰ δὲ τὸ μῆκος· εὐμήκης, εὐμήκεος, εὐμήκους. κατὰ δὲ τὸ κῆτος· μεγακήτης, μεγακήτεος, μεγακήτους. ἀμένης δέ, καὶ ἀμέλης, παρ' οὐδέτερον μένος, καὶ μέλος· ἀμένητος, καὶ ἀμέλητος. Ἔτι ὅσα παρὰ ῥῆμα· ἀριστοφάνους· πολυδεύκους· διομήδους· πολυκράτους· ἀπὸ τῶν φαίνω· δεύκω· μήδω· κρατῶ· ἤ, ὥς τινες ἀπὸ τοῦ κρέτους. Ἔτι ὅσα ἔχει οὐδέτερον παρεσχηματισμένον εἰς ες· ὀξύτονά τε, καὶ βαρύτονα· ἀληθοῦς· πανώλους· ἐξώλους· λειώδους· πεζώδους· λοιμώδους· ἀληθὲς γάρ, καὶ πανώλες· καὶ ἐξώλες· καὶ λειῶδες· καὶ πεζῶδες· καὶ λοιμῶδες τὰ οὐδέτερα. Ἔτι ὅσα διὰ τοῦ ωρης· καὶ ηρης· διώρους· τριήρους. Ἔτι ὅσα ἀπὸ τῶν εἰς υς γινόμενα· ἀβαροῦς· ποδώκους· παρὰ τὸ βαρύς· ὠκύς. Ἔτι ὅσα εἰς νης ὀξύτονα· σαφηνοῦς· γαληνοῦς. Ἔτι ὅσα εἰς ρης δισύλλαβα· πλήρους· ἄρους· ὃ καὶ ἄρου· καὶ ἄρητος· καὶ παρὰ τὸ ἄρης, ἄρεος κοινῶς· καὶ ἄρηος, ἰωνικῶς, καὶ ἄρεως ἀττικῶς· καὶ ἄρευς αἰολικῶς.

Αἵ γε μὴν τούτων γενικαὶ τῶν πληθυντικῶν συναιρεθεῖσαι περισπῶνται· εὐγενῶν· δημοσθενῶν· πλὴν τοῦ δυσώδων· καὶ εὐώδων· καὶ τριήρων· καὶ τῶν παρὰ τὸ ἦθος· συνήθων· εὐήθων.

Ἰστέον ὅτι τὰ παρ' οὐδέτερον εἰς ος συντιθέμενα, κύρια μὲν ὄντα βαρύνεται· ἀριστοτέλης· δημοσθένης· ἀριστομένης· ἡρακλέης. ὃ καὶ ἡρακλῆς περισπωμένως κατὰ κρᾶσιν. πλὴν τοῦ εὐμενής· ὁ τῶν μακεδόνων βασιλεύς. Ἐπίθετα δὲ ὀξύνεται· εὐμενής· δυσμενής· εὐγενής· εὐσθενής· εὐειδής· εὐτελής· εὐκλεής· δυσκλεής. Τὰ δὲ παρὰ τὸ ἔτος, κοινῶς μὲν ὀξύνεται· διετής· τριετής· ἀττικῶς δὲ βαρύνεται· διέτης, τριέτης. Δεῖ μέντοι προσθεῖναι, χωρὶς ἢν μὴ ἀπὸ τρισυλλάβου οὐδετέρου, ἢ καὶ δισυλλάβου παραληγομένου μὲν διὰ τοῦ η, ἑπομένου δὲ συμφώνου γίνηται· μέγεθος, εὐμεγέθης· κῆτος, μεγακήτης· ἦθος, εὐήθης· μῆκος, ἐπι-

μένης. Ἰστέον ἔτι καὶ τοῦτο, ὅτι οἱ ἀρχαῖοι τῶν ἀθηναίων, ἐπὶ τῶν εἰς ης κυρίων τε, καὶ ἐπιθέτων παρὰ τὸ ἔτος συντιθεμένων, ἐποίουν τὴν εὐθεῖαν τῶν πληθυντικῶν εἰς αι. καὶ τὴν αἰτιατικὴν εἰς ας. οἷον, οἱ δημοσθέναι, τοὺς δημοσθένας, οἱ ἑπτέται, τοὺς ἑπτέτας.

Τὰ δὲ παρὰ τὸ κλέος, ἐντελῆ μὲν ὄντα, βαρύνεται. ἡρακλέης. ἀγαθοκλέης. δημοκλέης. περικλέης. σοφοκλέης. ἀριστοκλέης. συναιρεθέντα δὲ, περισπᾶται. ἡρακλῆς. περικλῆς. δημοκλῆς. ἀγαθοκλῆς. σοφοκλῆς. ἀριστοκλῆς. τὸ μὲν οὖν ἡρακλέης ἐντελὲς ὂν, κλίνεται ὧδε.

Ε. ὁ ἡρακλέης. τοῦ ἡρακλέεος, ἡρακλέους. καὶ ἡρακλέηος. τῷ ἡρακλέεϊ, ἡρακλέει. τὸν ἡρακλέεα, ἡρακλέη. καὶ ἡρακλέην. ὦ ἡράκλεες. ἡράκλεις κοινῶς. καὶ ἡρακλέη ἀττικῶς. Δ. τὼ, καὶ ὦ ἡρακλέεε, ἡρακλέε. καὶ ἡρακλέη. τοῖν ἡρακλεέοιν, ἡρακλέοιν. Π. οἱ, καὶ ὦ ἡρακλέεες, ἡρακλέεις. τῶν ἡρακλεέων, ἡρακλέων. τοῖς ἡρακλέεσι, καὶ ἡρακλῆσι. τοὺς ἡρακλέεας, ἡρακλέεις. Τὸ δὲ ἡρακλῆς συναιρεθὲν, ὧδε.

Ε. ὁ ἡρακλῆς. τοῦ ἡρακλέος, ἡρακλοῦς. καὶ ἡρακλῆος ἰωνικῶς. τῷ ἡρακλέϊ, ἡρακλεῖ, καὶ ἡρακλῆϊ. τὸν ἡρακλέα, ἡρακλῆ, καὶ ἡρακλῆα, ἰωνικῶς, καὶ ἡρακλῆν ἀττικῶς, ὦ ἡράκλεες κοινῶς, καὶ ὦ ἡρακλῆς ἀττικῶς. Δ. τὼ, καὶ ὦ ἡρακλέε, ἡρακλῆ. τοῖν ἡρακλέοιν, ἡρακλοῖν, καὶ ἡρακλήοιν. Π. οἱ, καὶ ὦ ἡρακλέες, ἡρακλεῖς. καὶ ἡρακλῆες. τῶν ἡρακλέων, ἡρακλῶν, καὶ ἡρακλήων. τοῖς ἡρακλέσι, καὶ ἡρακλῆσι. τοὺς ἡρακλέας, ἡρακλεῖς, καὶ ἡρακλῆας.

Τὰ εἰς ις ἀρσενικά.

Ε. ὁ πάρις. τοῦ πάριδος, καὶ πάριος. τῷ πάριδι, καὶ πάρι. τὸν πάριδα, καὶ πάριν. ὦ πάρι, καὶ ὦ πάρις. Δ. τὼ, καὶ ὦ πάριδε. τοῖν παρίδοιν. Π. οἱ, καὶ ὦ πάριδες. τῶν παρίδων. τοῖς πάρισι. τοὺς πάριδας.

Ἰστέον δὲ ὅτι τὰ εἰς ις μονοσύλλαβα διὰ καθαροῦ τοῦ ος κλίνεται. κὶς, κιός. λὶς, λιός. ὁ μέν τοι τίς. τινός. τοῦτο γὰρ μακρὸν ἔχει τὸ ι. πλὴν τοῦ τίς. ἔτι τὰ ὑπὲρ μίαν συλλαβὴν προσηγορικὰ, βαρύτονα, μὴ ὄντα παρώνυμα μακροκατάληκτα. ὄφις, ὄφιος. μάντις, μάντιος. ἔχις, ἔχιος. κόρις, κόριος. τό γε μὴν μάντις διαφόρως εὑρέθη κλινόμενον. μάντιος μὲν, πολλάκις. ὀλιγάκις δὲ, μάντιδος. ἐν δὲ τῇ συνθέσει, τοὐναντίον. πλεονάκις διὰ τοῦ δος. ὀρθομάντις, ὀρθομάντιδος. πρόμαντις, προμάντιδος. κοσκινόμαντις, κοσκινομάντιδος. τὰ δὲ ὑπὲρ μίαν συλλαβὴν κύρια. διὰ τοῦ δ. πάρις, πάριδος. ἄδωνις, ἀδώνιδος. θέογνις, θεό-

γνιδος. καὶ ἐξαιρέσει τοῦ δ ἰωνικῶς, πάριος. ἀδώνιος. θεόγνιος. σεσημείωται ἶφις, ἴφιος. σύντις, σύντιος. πόλις, πόλιος. ἀνάχαρσις, ἀναχάρσιος καθαρῷ τῷ ος κλινόμενα. κύρια ὄντα.

Ἔτι τὰ προσηγορικὰ παρώνυμα μακροκατάληκτα. διὰ τοῦ δ κλίνεται. γύννις, γύννιδος, ὁ γυναικώδης, καὶ θηλύμορφος. εὖνις, εὔνιδος, ὁ ἐστερημένος. εὔνιδος. λέγεται δὲ μᾶλλον ἡ εὖνις θηλυκῶς ἡ γαμετὴ ἐστερημένη τῶν ἐπιτηδείων. εὐκνήμις, εὐκνήμιδος. ἔτι τὰ παρὰ τὸ πόλις σύνθετα ἀρσενικά τε, καὶ κοινά. ὁ ἀγησίπολις, τοῦ ἀγησιπόλιδος. ὁ σώπολις, τοῦ σωπόλιδος. ὁ καὶ ἡ φυγόπολις. ἄπολις τοῦ, καὶ τῆς φυγοπόλιδος. ἀπόλιδος. τὰ μέν τοι παρὰ τὸ πόλις καὶ τῷ καθαρῷ κλίνεται. ἀγησιπόλιος. φυγοπόλιος. τούτοις παραπλησίως κλίνεται ὁ φθόϊς. παῖς. τοῦ φθόϊδος. παῖδος. Ἐξαιρεῖται τὰ ἔχοντα πρὸ τοῦ ις. δύο ἀμετάβολα διὰ τοῦ θ κλινόμενα. ὄρνις. ὄρνιθος. μέρμις, μέρμιθος. ἔτι καὶ τὸ ἕλμινς, ἕλμινθος.

Περὶ τῶν εἰς ις συντομώτερον.

Τὰ εἰς ις μονοσύλλαβα ἔτι καὶ τὰ ὑπὲρ μίαν συλλαβὴν προσηγορικὰ βαρύτονα, μὴ παρώνυμα μακροκατάληκτα ὄντα, διὰ καθαροῦ τοῦ ος κλίνεται. κὶς, κιός. λὶς, λιός. ὄφις, ὄφιος. μάντις, μάντιος. εὕρηται μέντοι καὶ μάντιδος, σπανίως δὲ. τὸ δὲ τίς, τινός. τὰ δὲ κύρια, καὶ προσηγορικὰ παρώνυμα μακροκατάληκτα ὄντα, καὶ παρὰ τὸ πόλις, καὶ μάντις σύνθετα διὰ τοῦ δ κλίνεται. ἀδώνιδος. εὐκνήμιδος σωπόλιδος. κοσκινομάντιδος. τὰ δὲ ἔχοντα δύο ἀμετάβολα πρὸ τοῦ ις. διὰ τοῦ θ, ὄρνιθος. σεσημείωται ταυτὶ κύρια ὄντα τῷ καθαρῷ. ἴφιος. σύντιος. πόλιος. ἀναχάρσιος.

Τὰ εἰς υς ἀρσενικά.

Ε. ὁ ῥαδάμανθυς. τοῦ ῥαδαμάνθυος. τῷ ῥαδαμάνθυϊ. τὸν ῥαδάμανθυν μόνως. ὦ ῥαδάμανθυ κοινῶς, καὶ ὦ ῥαδάμανθυς ἀττικῶς. Δ. τὼ, καὶ ὦ ῥαδαμάνθυε. τοῖν ῥαδαμανθύοιν. Π. οἱ, καὶ ὦ ῥαδαμάνθυες. ῥαδαμάνθυς. τῶν ῥαδαμανθύων. τοῖς ῥαδαμάνθυσι. τοὺς ῥαδαμάνθυας, ῥαδαμάνθυς. Ἰστέον δὲ ὅτι τὰ εἰς υς μονοσύλλαβα, τὸ υ φυλάττοντα κλίνεται. ὄντα καθ' ἡρωδιανὸν, περισπώμενα. κατὰ δὲ θεόδωρον τὸν γαζῆν, ὀξύτονα, καὶ ἐπὶ μὲν τῇ εὐθείᾳ ἐκτείνει τὸ υ, ἐπὶ δὲ τῶν πλαγίων συστέλλει. σῦς, συός. ὗς, ὑός. μῦς, μυός. δρῦς, δρυός. μονογενῆ γάρ.

Ἔτι διὰ καθαροῦ τοῦ ος. τὸ υ φυλάττοντα κλίνεται τὰ ὑπὲρ μί-

αι συλλαβὴν μονογενῆ, εἴτε βαρύτονα, εἴτε ὀξύτονα εἴη· τίφυς, τίφυος· βότρυς, βότρυος· νέκυς, νέκυος· ἴτυς, ἴτυος· ἰχθύς, ἰχθύος· ὀφρύς, ὀφρύος· ἀχλύς, ἀχλύος· ἐξαιρεῖται ὁ πῆχυς τοῦ πήχεως· ὁ πέλεκυς, τοῦ πελέκεως· ὁ πρέσβυς, τοῦ πρέσβεως, μεταβληθέντος τοῦ ο μικροῦ εἰς τὸ μέγα ἔθει ἀττικῷ, μετεβλήθη, καὶ τὸ υ εἰς ε. Τριγενῆ δὲ ὄντα ὀξύτονα μεταβολῇ τοῦ υ εἰς ε κλίνεται· ἡδύς, ἡδέος· ὠκύς, ὠκέος· ταχύς, ταχέος· βραχύς, βραχέος· ὀξύς, ὀξέος· εὐθύς, εὐθέος· ὧν γε τὰ μὲν θηλυκὰ εἰς εια· ἡδεῖα· ὠκεῖα· ταχεῖα· βραχεῖα· ὀξεῖα· εὐθεῖα, τὸ δὲ οὐδέτερον εἰς υ· ἡδύ· ὠκύ· ταχύ· βραχύ· ὀξύ· εὐθύ. Τὰ δὲ εἰς υς σύνθετα, εἰ μὲν ἀπὸ ἁπλῶν εἰς υς ληγόντων ᾖ συντιθέμενα, τὴν τῶν ἁπλῶν φυλάττει κλίσιν, βραχύς, βραχέος· τρίβραχυς, τριβράχεος· ἰχθύς, ἰχθύος· καλλίχθυς, καλλίχθυος· πῆχυς, πήχεως· δίπηχυς, διπήχεως· ὀφρύς, ὀφρύος· λευκόφρυς, λευκόφρυος. εἰ δὲ ἀπὸ ἄλλων τινῶν, διὰ τοῦ δ κλίνεται· νέηλυς, νεήλυδος· ἔπηλυς, ἐπήλυδος· ἦλυς, καὶ νέηλυς, ὁ νεωστὶ ἐληλυθώς. ταῦτα γὰρ οὐκ ἀπὸ ἁπλῶν εἰς υς ληγόντων συντεθειμένα ἐστί, ἀλλ' ἀπὸ ῥήματος τοῦ ἐλεύθω.

Ε. ὁ ἡδύς, τοῦ ἡδέος· τῷ ἡδέϊ, ἡδεῖ· τὸν ἡδέα, καὶ ἡδύν· ὦ ἡδύ, κοινῶς, καὶ ὦ ἡδὺς ἀττικῶς. Δ. τὼ, καὶ ὦ ἡδέε. τοῖν ἡδέοιν. Γ. οἱ, καὶ ὦ ἡδέες, ἡδεῖς. τῶν ἡδέων. τοῖς ἡδέσι. τοὺς ἡδέας, ἡδεῖς. οὕτω τοι κλινεῖς ὠκύς· βραδύς· ταχύς· εὐθύς· καὶ ἕτερα εἰς υς τριγενῆ.

Ε. ὁ βότρυς. τοῦ βότρυος. τῷ βότρυϊ. τὸν βότρυν μόνως. εὑρήσεις δὲ σπανίως τὸν βότρυα παρὰ ποιηταῖς ὡς δρύα καὶ νηδύα. ὦ βότρυ, καὶ ὦ βότρυς. Δ. τὼ, καὶ ὦ βότρυε. τοῖν βοτρύοιν. Γ. οἱ, καὶ ὦ βότρυες, βότρυς. τῶν βοτρύων. τοῖς βότρυσι. τοὺς βότρυας. βότρυς.

Τὰ εἰς ως ἀρσενικά.

Ε. ὁ, καὶ ὦ ἥρως. τοῦ ἥρωος. τῷ ἥρωϊ. τὸν ἥρωα. Δ. τὼ, καὶ ὦ ἥρωε. τοῖν ἡρώοιν. Γ. οἱ, καὶ ὦ ἥρωες. τῶν ἡρώων. τοῖς ἥρωσι. τοὺς ἥρωας.

Ε. ὁ, καὶ ὦ ἔρως. τοῦ ἔρωτος. τῷ ἔρωτι. τὸν ἔρωτα. Δ. τὼ, καὶ ὦ ἔρωτε. τοῖν ἐρώτοιν. Γ. οἱ καὶ ὦ ἔρωτες. τῶν ἐρώτων. τοῖς ἔρωσι. τοὺς ἔρωτας.

Ε. ὁ, καὶ ὦ ἱδρώς. τοῦ ἱδρῶτος. τῷ ἱδρῶτι. τὸν ἱδρῶτα. Δ. τὼ, καὶ ὦ ἱδρῶτε. τοῖν ἱδρώτοιν. Γ. οἱ, καὶ ὦ ἱδρῶτες. τῶν ἱδρώτων. τοῖς ἱδρῶσι. τοὺς ἱδρῶτας. εὕρηται καὶ τῷ ἱδρῷ, καὶ τὸν ἱδρῶ παρὰ ποιηταῖς κατ' ἀποκοπήν.

Δ εἰδέναι δὲ, ὅτι τὰ εἰς ως μονοσύλλαβα ὀξύτονα ἔχοντα μὲν σύμφωνον τῆς πρώτης συζυγίας τῶν βαρυτόνων, διὰ καθαροῦ κλίνεται. θώς, θωός· Τρώς, Τρωός· δμώς, δμωός. ἄλλο δέ τι ἔχοντα σύμφωνον, εἰ μὲν εἴη ἀπαθῆ, διὰ τοῦ τ· φώς, φωτός· ὁ ἀνήρ, εἰ δὲ πεπονθότα, ἀποβολῇ τοῦ σ· ὁ σῶς, τοῦ σῶ· ὁ ζῶς, τοῦ ζῶ· ὁ κῶς, τοῦ κῶ· ἀπὸ τοῦ σῶος· ζῶος· κῶος ὁ πολίτης. κλίνεται δὲ ταῦτα οὐκ ἀττικῶς, ἀλλὰ κοινῶς, κατὰ πάθος συνεμπεσόντα τοῖς ἀττικοῖς. Ὑπὲρ μίαν δὲ συλλαβήν, ὀξύτονα μὲν διὰ τοῦ τ κλίνεται· ἀπτώς, ἀπτῶτος· ἀγνώς, ἀγνῶτος· ἱδρώς, ἱδρῶτος· βαρύτονα δὲ τὴν μὲν μακρὰν παραλήγῃ, διὰ καθαροῦ· μίνως, μίνωος· ἥρως, ἥρωος. πλὴν τοῦ εἵλως, εἵλωτος· ἕλως γὰρ ἦν. τὴν δὲ βραχεῖαν, διὰ τοῦ τ· γέλως, γέλωτος· ἔρως, ἔρωτος. οἱ δὲ ἀττικοί, κατ' ἀποβολὴν τοῦ σ κλίνουσι. τοῦ γέλω καὶ ἔρω· καὶ μίνω· καὶ ἥρω· καὶ κάλω λέγοντες. τὰ δὲ σύνθετα ὁμοίως τοῖς ἁπλοῖς κλίνεται. καὶ ὅτε μὲν ἀπὸ κοινῶν ἡ σύνθεσις γένηται, κοινῶς τὸ σύνθετον κατὰ τὴν τῶν ἁπλῶν κλίσιν κλίνεται· ἔρως ἔρωτος· δύσερως, δυσέρωτος· ἱδρώς, ἱδρῶτος· λυσίδρως, λυσίδρωτος. ὅτε δὲ ἀπὸ ἀττικῶν· ἀττικῶς· ἔρως, ἔρω· δύσερως, δύσερω· χρύσερως, χρύσερω· γέλως, γέλω, φιλόγελως, φιλόγελω. Καὶ εἰ μὲν κοινῶς κλίνοιτο, πρὸ μιᾶς ἔχει τὸν τόνον· φιλογέλως, φιλογέλωτος. εἰ δὲ ἀττικῶς, προπαροξύνεται· φιλόγελως, φιλόγελω.

Τὰ εἰς εις ἀρσενικά.

Ε. ὁ σιμόεις. τοῦ σιμόεντος. τῷ σιμόεντι. τὸν σιμόεντα. ὦ σιμόει, καὶ ὦ σιμόεις. καὶ ὦ σιμόεν παροξυτόνως. Δ. τὼ, καὶ ὦ σιμόεντε. τοῖν σιμοέντοιν. Γ. οἱ, καὶ ὦ σιμόεντες. τῶν σιμοέντων. τοῖς σιμόεσι. τοὺς σιμόεντας.

Ε. ὁ χαρίεις τοῦ χαρίεντος. τῷ χαρίεντι. τὸν χαρίεντα. ὦ χαρίει κοινῶς, καὶ ὦ χαρίεις ἀττικῶς. καὶ ὦ χαρίεν παροξυτόνως. Δ. τὼ, καὶ ὦ χαρίεντε. τοῖν χαριέντοιν. Γ. οἱ, καὶ ὦ χαρίεντες. τῶν χαριέντων. τοῖς χαρίεισι, καὶ χαρίεσι. τοὺς χαρίεντας.

Δ εἰδέναι δὲ, ὅτι τὰ εἰς εις, μονοσύλλαβα μὲν, διὰ τοῦ ν κλίνεται· εἷς, ἑνός· κτείς, κτενός· δείς, δενός· ὅθεν οὐδείς, οὐδενός· μηδείς, μηδενός. τὸ δὲ κλείς, κλειδός, διὰ τοῦ δ· θηλυκὸν γάρ. ὑπὲρ μίαν δὲ συλλαβήν, διὰ τοῦ ντ· σιμόεντος· τελήεντος· χαρίεντος· δρόεντος. τούτων ἡ κλητικὴ διχῇ ἐκφέρεται κοινῶς· ὦ χαρίεν, καὶ δρόεν βαρυτόνως· ἀπὸ τῆς γενικῆς ἐκβολῇ τοῦ τος· καθάπερ ὦ αἶαν, ἀπὸ τοῦ αἴαντος. καὶ ὦ χαρίει, καὶ δρόει· ἀπὸ τῆς εὐθείας ἐκβολῇ τοῦ σ· τὰ γὰρ εἰς σ μετὰ διφθόγγου ἐκβολῇ τοῦ σ ποιεῖ κοινῶς τὴν κλητικήν· ὁ βοῦς ὦ βοῦ· ὁ πλακοῦς, ὦ πλακοῦ.

ὁ σιμοῦς, ὦ σιμοῦ. ὁ ὀρφοῦς, ὦ ὀρφοῦ. ὁ πάϊς, ὦ πάϊ. ἔτι μὴν καὶ ἡ δοτικὴ τῶν πληθυντικῶν διχῆ, τοῖς χαρίεσι, καὶ τοῖς βρόεσι ἀπὸ τῆς εὐθείας. καὶ τοῖς χαρίεσι, καὶ βρόεσιν ἐκ τῆς δοτικῆς.

Τὰ εἰς οῦς. ἀρσενικά.

Ε. ὁ βοῦς, τοῦ βοός, τῷ βοΐ, τὸν βόα, καὶ βοῦν, ὃ καὶ εὐχρηστότερον. ὦ βοῦ. Δ. τὼ, καὶ ὦ βόε. τοῖν βοοῖν περισπωμένως. Γ. οἱ, καὶ ὦ βόες. βοῦς, ὃ ἀπὸ σπανίως εἴρηται. τοῖς βουσί. τοὺς βόας, βοῦς κατὰ κρᾶσιν.

Ε. ὁ σιμοῦς, τοῦ σιμοῦντος, τῷ σιμοῦντι, τὸν σιμοῦντα, ὦ σιμοῦ. Δ. τὼ, καὶ ὦ σιμοῦντε. τοῖν σιμούντοιν. Γ. οἱ, καὶ ὦ σιμοῦντες. τῶν σιμούντων. τοῖς σιμοῦσι. τοὺς σιμοῦντας. παρῆκται δὲ παρὰ τὸ σιμόεις ἀττικῇ συναιρέσει. ὡς πλακοῦς παρὰ τὸ πλακόεις.

Ε. ὁ πολύπους, τοῦ πολύποδος, τῷ πολύποδι, τὸν πολύποδα, καὶ πολύπουν ἀττικῶς. ὦ πολύπου. Δ. τὼ, καὶ ὦ πολύποδε. τοῖν πολυπόδοιν. Γ. οἱ, καὶ ὦ πολύποδες. τῶν πολυπόδων. τοῖς πολύποσι. τοὺς πολύποδας. καὶ αἰολικῶς, ὁ πώλυπος, τοῦ πωλύπου, τῷ πωλύπῳ, τὸν πώλυπον, ὦ πώλυπε, καὶ ὦ πώλυπος. Δ. τὼ, καὶ ὦ πωλύπω. τοῖν πωλύποιν. Γ. οἱ, καὶ ὦ πώλυποι. τῶν πωλύπων. τοῖς πωλύποις. τοὺς πωλύπους.

Δ ἔτι δὲ εἰδέναι, ὅτι τὰ εἰς οῦς τῷ καθαρῷ κλίνεται. βοῦς, βοός. νοῦς, νοός. χοῦς, χοός. πλὴν τοῦ ποὺς, ποδός. καὶ ὀδοὺς, ὀδόντος. καὶ εἰ μὴ εἴη ἁπλᾶ, περισπᾶται. πλὴν τοῦ ποὺς, καὶ ὀδούς. τὸ μὲν γὰρ ποὺς, ὅτι ἐκ βαρείας, καὶ ὀξείας γίνεται. πόος, παρὰ τὸ πορός. πούς. ἡ γὰρ βαρεῖα, καὶ ὀξεῖα εἰς ὀξεῖαν συνέρχεται. ζωὸς, ζώς. ἔστι δὲ πορὸς, ὀξύτονος. ὁ διὰ τοῦ ρ. τὸ δὲ ὀδοὺς, ὁμοίως ταῖς εἰς οῦς μετοχαῖς, ὀξύνεται. καὶ διὰ τοῦ ντ κλίνεται. ὡς γὰρ διδοὺς, διδόντος, οὕτω καὶ ὀδοὺς, ὀδόντος. εἰ δὲ σύνθετα, βαρύνεται. εὔνους. εὔχους. εὔπλους. σύννους. κακόνους. καὶ ἔστι κοινὰ τῷ γένει. τὸ δὲ ἁπλοῦς, καὶ διπλοῦς, καὶ τετραπλοῦς, οὐ σύνθετα. εἰ γὰρ εἴη σύνθετα, οὐκ ἂν ἐποίουν ἴδια θηλυκά. ποιεῖ δὲ διπλόη, διπλῆ. τετραπλόη, τετραπλῆ. ἁπλόη, ἁπλῆ. οὐκ ἄρα σύνθετα. ἀλλὰ παράγωγα ἁπλᾶ. ἀπὸ γὰρ τοῦ ἅπαξ κατὰ παραγωγὴν, ἁπλόος, καὶ ἐν συναιρέσει, ἁπλοῦς. καὶ παρὰ τὸ δὶς, διπλόος. καὶ ἐν συναιρέσει, διπλοῦς. καὶ παρὰ τὸ τρεῖς, καὶ τετράκις, ὁμοίως. τὰ δὲ παρὰ τὸ ποὺς σύνθετα, τήν τε τοῦ ἁπλοῦ φυλάττει κλίσιν ἀττικῶς. δίπους, δίποδος. τὸν δίποδα, καὶ δίπουν. πολύπους, πολύποδος.

τὸν πο-

τὸν πολύποδα, καὶ πολύπουν. οἰδίπους, οἰδίποδος. τὸν οἰδίποδα, καὶ οἰδίπουν. καὶ ἰσοσυλλάβως κλίνεται εἰς ος λήγοντα ἐπὶ τῆς εὐθείας αἰολικῶς. δίπλος, δίπλου. τρίπλος, τρίπλου. πώλυπος, πωλύπου. οἰδίπος, οἰδίπου. ἄρτιπος, ἀρτίπου. περὶ γε τούτων. Ἀθήναιος ὁ δειπνοσοφιστὴς, ἄλλα τε πολλὰ, καὶ δὴ καὶ ταῦτα ἔγραψε. τὴν δὲ αἰτιατικὴν πολύπουν φασίν. ὡς καὶ ἀλκίνουν, καὶ οἰδίπουν. καὶ τρίπουν δὲ λέβητα αἰσχύλον εἰρηκέναι ἐν ἀθάμαντι ἀπὸ ἁπλοῦ τοῦ πούς. ὡς νόος, νοῦς. τὸ δὲ πώλυπον λέγειν, αἰολικόν. Ἀττικοὶ γὰρ πουλύπουν λέγουσιν. ἀριστοφάνης δαιδάλῳ. ταῦθ' ἑκόντα πουλύπουν, καὶ σηπίας. καὶ πάλιν. πουλύπουν μοι ἤθελε. καὶ πάλιν. τινὲς λέγονται πουλύπου πιλουμένου. Ἀλκαῖος ἀδελφαῖς μοι χεομέναις. ἠλίθιον εἶναι νοῦν τε πολύποδος ἔχειν. Ἀμειψίας κατεσθίοντι. δεῖ μὲν, ὡς ἔοικε, πολλῶν πολύπων. Πλάτων παιδίῳ. ὥσπερ τοὺς πολύποδας πρώτιστα σοί. Ἀλκαῖος. ἔδω δ' ἐμαυτὸν, ὡς πολύπους. οἱ δὲ πολύποδα προφέρονται ἀνάλογον τῷ ποὺς, ποδὸς, ποδί, πόδα. καὶ μικρῷ ὕστερον. Ἐπίχαρμος δ' ἐν ἥβας γάμῳ. πώλυποί τε, σηπίαι τε, καὶ ποταναὶ τευθίδες, χαλυσώδης βολβίτις, γραῖαί τ' ἐριθακώδεες. Ἀρχέστρατος δέ φησι πουλύποι ἔν τε θάσῳ, καὶ ἐν καρίᾳ εἰσὶν ἄριστοι. καὶ κέρκυρα τρέφει πολλούς, μεγάλους τε τὸ πλῆθος. Δωριεῖς δ' αὐτὸν διὰ τοῦ ω μεγάλου καλοῦσι πωλύπουν. ὡς ἐπίχαρμος. καὶ σιμωνίδης δ' ἔφη. πώλυπον διζήμενος. Ἀττικοὶ δὲ πουλύπουν. καὶ ἐν ἐπιγράμμασι γέγραπται οὕτως. Ἀντιπάτρου.

Γ Πώλυπος εἰναλίῃ ποτ' ἐπὶ προβλῆτι ταννυθεὶς,
Ἠελίῳ ψύχειν, πολλὸν ἀνῆκε πόδα.

Ἰσιδώρου.

Γ Πώλυπον ἀγρεύσας ποτὲ γύννιχος, ἐξ ἁλὸς εἰς γῆν
Ἔρριψεν. δείσας θηρὸς ἱμαντοπέδην.

Ἔ Ἔτι ὅμηρος. τὸ ἄρτιπος ἔλεγεν εἰς ος χρησάμενος τῇ εὐθείᾳ.

Ἡ Ἡ δ' ἄτη, σθεναρή τε, καὶ ἄρτιπος, οὕνεκα πάσας.

Τὰ εἰς ς ἀρσενικὰ τοῦ λ, ἢ ν, ἢ ρ προηγουμένου.

Ε. ὁ, καὶ ὦ ἅλς. τοῦ ἁλός. τῷ ἁλί. τὸν ἅλα. Δ. τὼ, καὶ ὦ ἅλε. τοῖν ἁλοῖν. Γ. οἱ, καὶ ὦ ἅλες. τῶν ἁλῶν. τοῖς ἁλσί. τοὺς ἅλας. Σημαίνει δὲ ἀρσενικῶς τὸ ἅλας, ἐν μόνοις τοῖς πληθυντικοῖς ἐν χρήσει ὄν. κλίνεται

δὲ καὶ θηλυκῶς· ἡ ἅλς· τῆς ἁλός· καὶ σημαίνει τὴν θάλασσαν ἐν τοῖς ἑνικοῖς μόνοις κλινόμενον.

Ε. ὁ καὶ ὦ ἕλμινς· τοῦ ἕλμινθος· τῷ ἕλμινθι· τὸν ἕλμινθα. Δ. τὼ, καὶ ὦ ἕλμινθε· τοῖν ἑλμίνθοιν. Γ. οἱ, καὶ ὦ ἕλμινθες· τῶν ἑλμίνθων· τοῖς ἕλμισι· τοὺς ἕλμινθας.

Ἰστέον δὲ ὅτι τῶν ὀνομάτων εἰς δύο σύμφωνα λῆγον, ἡνίκα τὸ ἔσχατον ᾖ σ, τὸ τ πάντως ἔχει ἡ γενική· μάκαρς, μάκαρτος· δάμαρς, δάμαρτος· πλὴν τοῦ τίρυνς, τίρυνθος· καὶ ἕλμινς, ἕλμινθος. Ἀπὸ δὲ τοῦ ἅλς, ὤφειλεν εἶναι τοῦ ἅλτος ἡ γενική· ἀλλ' ἐπειδὴ ἡ εὐθεῖα δασύνεται, ἐπεὶ ἀθροιστικὸν τὸ ὄνομα, ἡ γενικὴ ἔμελλε ψιλοῦσθαι. ἐπειδὴ τὸ α προηγούμενον τοῦ λ ἀμεταβόλου, ἑνὸς τῶν συμφώνων τῆς τρίτης συζυγίας τῶν βαρυτόνων ἐπιφερομένου ψιλοῦται. ἀλλ' ἐπειδὴ πᾶσα πτῶσις τὸ τῆς εὐθείας φυλάττει πνεῦμα, ὑπεστάλη τὸ τ ἵνα ὁμοίως τῇ εὐθείᾳ δασυνθῇ καὶ ἡ γενική. ὅθεν ἐν συνθέσει, ἐπεὶ οὐκ ἐνεπόδισε τὸ πνεῦμα προσῆλθε τὸ τ ἐν τῷ ἄναλτος. Ὅμηρος· τοῦτον τὸν ἄναλτον.

Τὰ εἰς ψ ἀρσενικά.

Ε. ὁ, καὶ ὦ ἄραψ· τοῦ ἄραβος· τῷ ἄραβι· τὸν ἄραβα. Δ. τὼ, καὶ ὦ ἄραβε· τοῖν ἀράβοιν. Γ. οἱ, καὶ ὦ ἄραβες· τῶν ἀράβων· τοῖς ἄραψι· τοὺς ἄραβας.

Ε. ὁ, καὶ ὦ ὤψ· τοῦ ὠπός· τῷ ὠπί· τὸν ὦπα. Δ. τὼ, καὶ ὦ ὦπε· τοῖν ὠποῖν. Γ. οἱ, καὶ ὦ ὦπες· τῶν ὠπῶν· τοῖς ὠψί· τοὺς ὦπας. ὄψ δὲ ὀπός, διὰ τοῦ ο μικροῦ ἡ φωνή· θηλυκόν.

Ε. ὁ, καὶ ὦ κύκλωψ· τοῦ κύκλωπος· τῷ κύκλωπι· τὸν κύκλωπα. Δ. τὼ, καὶ ὦ κύκλωπε· τοῖν κυκλώποιν. Γ. οἱ, καὶ ὦ κύκλωπες· τῶν κυκλώπων· τοῖς κύκλωψι· τοὺς κύκλωπας.

Ε. ὁ, καὶ ὦ αἰθίοψ· τοῦ αἰθίοπος· τῷ αἰθίοπι· τὸν αἰθίοπα. Δ. τὼ, καὶ ὦ αἰθίοπε· τοῖν αἰθιόποιν. Γ. οἱ, καὶ ὦ αἰθίοπες· τῶν αἰθιόπων· τοῖς αἰθίοψι· τοὺς αἰθίοπας.

Ἰστέον δὲ ὅτι τὰ εἰς ψ, εἴτε ἀρσενικὰ εἴη, εἴτε θηλυκά, ἔνια μὲν διὰ τοῦ π, ἔνια δὲ διὰ τοῦ β· ἔνια δὲ, διὰ τοῦ φ, τῶν δηλονότι ἀντιστοίχων συμφώνων τῆς πρώτης συζυγίας τῶν βαρυτόνων κλίνεται. διὰ μὲν τοῦ β, ταυτί· φὰψ, φαβὸς ἡ νύμφη· φλέψ, φλεβός· νὶψ, νιβός· ἡ κρήνη· λὶψ, λιβός, ὁ ἄνεμος· ἄραψ· ἄραβος· χάλυψ, χάλυβος· ἐθνικά· θάρυψ, θαρύβος· κύριον. Ἔτι τὰ παρὰ τὸ τρίβω, παιδότριψ, παιδότριβος· οἰκότριψ, οἰκότριβος. διὰ δὲ τοῦ φ ταυτί· κίνυψ, κίνυφος· κατῆλιψ, κατήλιφος· σκίραψ, σκίραφος. Διὰ δὲ τοῦ π, τὰ λοιπά· ἶψ, ἰπός· γρύψ, γρυπός· μέροψ, μέροπος· ὕδρωψ, ὕδρωπος· καὶ ἕτερα. τούτων δὲ τῶν εἰς οψ, τὰ μὲν παρὰ τὴν ὄψιν ἢ τὴν ὄπα ἢ ἄλλο τι, πλὴν εἰ μὴ παρὰ τὸ ὤψ ὠπὸς τὸν ὀφθαλμόν, διὰ μικροῦ γράφεται. ἐπί τε τῆς εὐθείας, καὶ ἐπὶ τῶν πλαγίων· αἰθίοψ, αἰθίοπος· μέροψ, μέροπος· κέκροψ, κέκροπος· πέλοψ, πέλοπος· οἶνοψ, οἴνοπος· τὰ δὲ παρὰ τὸ ὤψ, ὠπὸς τὸν ὀφθαλμόν, διὰ μεγάλου· ἑλίκωψ, ἑλίκωπος· κύκλωψ, κύκλωπος· παράβλωψ, παράβλωπος· μύωψ, μύωπος. οἷς ἠκολούθησε τὸ κέρκωψ, κέρκωπος, νυκτάλωψ, κώνωψ· μώλωψ· σκόλωψ· κάνωψ· ὕδρωψ· ῥώψ.

Περὶ θηλυκῶν ὀνομάτων τῶν περιττοσυλλάβως κλινομένων.

Τὰ εἰς ην θηλυκά.

Ε. ἡ καὶ ὦ σειρήν· τῆς σειρῆνος· τῇ σειρῆνι· τὴν σειρῆνα. Δ. τὰ, καὶ ὦ σειρῆνε· ταῖν σειρήνοιν. Γ. αἱ, καὶ ὦ σειρῆνες, τῶν σειρήνων· ταῖς σειρῆσι· τὰς σειρῆνας. ζήτει τοὺς κανόνας ἐν τοῖς ἀρσενικοῖς.

Τὰ εἰς ιν θηλυκά.

Ε. ἡ, καὶ ὦ σαλαμίν· τῆς σαλαμῖνος· τῇ σαλαμῖνι· τὴν σαλαμῖνα. Δ. τὰ, καὶ ὦ σαλαμῖνε· ταῖν σαλαμίνοιν. Γ. αἱ, καὶ ὦ σαλαμῖνες· τῶν σαλαμίνων· ταῖς σαλαμῖσι· τὰς σαλαμῖνας. ὃ δὴ καὶ τροπῇ τοῦ ν εἰς σ εὐθυολεκτεῖται· ὡς εἴρηται ἐν τοῖς εἰς ιν ἀρσενικοῖς.

Τὰ εἰς υν θηλυκά.

Ε. ἡ, καὶ ὦ γόρτυν· τῆς γόρτυνος· τῇ γόρτυνι· τὴν γόρτυνα. Δ. τὰ, καὶ ὦ γόρτυνε· ταῖν γορτύνοιν. Γ. αἱ, καὶ ὦ γόρτυνες· τῶν γορτύνων· ταῖς γόρτυσι· τὰς γόρτυνας.

Τὰ εἰς ων θηλυκά.

Ε. ἡ, καὶ ὦ κρότων· τῆς κρότωνος· τῇ κρότωνι· τὴν κρότωνα. Δ. τὰ, καὶ ὦ κρότωνε· ταῖν κροτώνοιν. Γ. αἱ, καὶ ὦ κρότωνες· τῶν κροτώνων· ταῖς κρότωσι· τὰς κρότωνας.

Ε. ἡ, καὶ ὦ κολοφών· τῆς κολοφῶνος· τῇ κολοφῶνι· τὴν κολοφῶνα. Δ. τὰ, καὶ ὦ κολοφῶνε· ταῖν κολοφώνοιν. Γ. αἱ καὶ ὦ κολοφῶνες· τῶν κολοφώνων· ταῖς κολοφῶσι· τὰς κολοφῶνας.

Ε. ἡ, καὶ ὦ χελιδών· τῆς χελιδόνος· τῇ χελιδόνι· τὴν χελιδόνα. Δ. τὰ, καὶ ὦ χελιδόνε· ταῖν χελιδόνοιν. Γ. αἱ, καὶ ὦ χελιδόνες· τῶν χελιδόνων.

ταῖς χελιδόσι. τὰς χελιδόνας.

Ι Ἰστέον δὲ ὅτι τὰ εἰς ων θηλυκὰ παροξύτονα, καὶ ἔτι τὰ ὀξύτονα ὀνόματα πόλεων ὄντα, ἅπαντα διὰ μακροῦ κλίνεται. ζήρωνος. μήκωνος. μαραθῶνος. πλὴν τοῦ ὁλοσσόνος, καὶ τῶν εἰς δων διὰ η παραληγόντων. οἷον ἡ χαλκηδών, τῆς χαλκηδόνος. ὧν τοι πέρι ἱκανῶς εἴρηται ἐν τοῖς εἰς ων ἀρσενικοῖς. Τὰ δὲ μὴ ὀνόματα πόλεων ὀξύτονα, διὰ μικροῦ. ζυγόνος. χελιδόνος. ἀηδόνος.

Τὰ εἰς αξ θηλυκά.

Ε. ἡ, καὶ ὦ γλαῦξ. τῆς γλαυκός. τῇ γλαυκί. τὴν γλαῦκα. Δ. τὰ, καὶ ὦ γλαῦκε. ταῖν γλαυκοῖν. Γ. αἱ καὶ ὦ γλαῦκες. τῶν γλαυκῶν. ταῖς γλαυξί. τὰς γλαῦκας.

Ε. ἡ, καὶ ὦ γύναιξ ἄχρηστον. τῆς γυναικός. ἐν χρήσει δὲ ἑτεροκλίτως. Ἡ γυνή. τῆς γυναικός. τῇ γυναικί. τὴν γυναῖκα. ὦ γύναι. Δ. τὼ, καὶ ὦ γυναῖκε ἀρσενικῶς. ὡς καὶ τὼ χεῖρε. καὶ τὼ πόλιε. καὶ τὼ ὁδώ. καὶ τὼ κασιγνήτα. καὶ ἄλλα πολλὰ ἀρχαίῳ ἔθει. ταῖν γυναικοῖν. Γ. αἱ καὶ ὦ γυναῖκες. τῶν γυναικῶν. ταῖς γυναιξί. τὰς γυναῖκας.

Ε. ἡ, καὶ ὦ κλίμαξ. τῆς κλίμακος. τῇ κλίμακι. τὴν κλίμακα. Δ. τὰ καὶ ὦ κλίμακε. ταῖν κλιμάκοιν. Γ. αἱ καὶ ὦ κλίμακες. τῶν κλιμάκων. ταῖς κλίμαξι. τὰς κλίμακας. κλίνεται δὲ πάντα διὰ τοῦ κ. αἶξ, δὲ αἰγός. διὰ γ.

Τὰ εἰς ηξ θηλυκά.

Ε. ἡ καὶ ὦ πήληξ. τῆς πήληκος. τῇ πήληκι. τὴν πήληκα. Δ. τὰ, καὶ ὦ πήληκε. ταῖν πηλήκοιν. Γ. αἱ καὶ ὦ πήληκες. τῶν πηλήκων. ταῖς πήληξι. τὰς πήληκας. Οὕτω καὶ ἡ χάληξ, καὶ τὰ ὅμοια διὰ κ κλίνεται ἐμμένοντος τοῦ η. πλὴν τῶν παραληγομένων διὰ ω. ἀπὸ διὰ ε. ἀλώπηξ, ἀλώπεκος. ὕσπληξ δὲ, καὶ ἀντίσπληξ, διὰ γ. καὶ ὁ καὶ ἡ βήξ. τῆς βηχός. διὰ χ.

Τὰ εἰς ιξ θηλυκά.

Ε. ἡ, καὶ ὦ σφίγξ. τῆς σφιγγός. τῇ σφιγγί. τὴν σφίγγα. Δ. τὰ καὶ ὦ σφίγγε. ταῖν σφιγγοῖν. Γ. αἱ καὶ ὦ σφίγγες. τῶν σφιγγῶν. ταῖς σφιγξί. τὰς σφίγγας.

Ε. ἡ, καὶ ὦ ἕλιξ. τῆς ἕλικος. τῇ ἕλικι. τὴν ἕλικα. Δ. τὰ καὶ ὦ ἕλικε. ταῖν ἑλίκοιν. Γ. αἱ, καὶ ὦ ἕλικες. τῶν ἑλίκων. ταῖς ἕλιξι. τὰς ἕλικας.

Δ εῖ δὲ εἰδέναι ὅτι τὰ εἰς ιξ, εἰ μὲν ἔχοι πρὸ τοῦ ξ τὸ γ, διὰ αὐτοῦ γ, κλίνεται. εἰ δὲ μὴ, διὰ κ. ἕλιξ, ἕλικος. κύλιξ, κύλικος. σάλπιγξ, σάλπιγ-

γος. μάστιξ δὲ μάστιγος. καὶ στίξ, στιχός. καὶ θρίξ, τριχός. καὶ τὰ τούτων σύνθετα. ὁμόστιξ, ὁμόστιχος. καλλίθριξ, καλλίτριχος. τανύθριξ, τανύτριχος. καὶ λύγξ, ὄνομα μὲν τοῦ ζώου, διὰ κ. ὄνομα δὲ τοῦ πάθους. διὰ γ.

Τὰ εἰς υξ. θηλυκά.

Ε. ἡ, καὶ ὦ στύξ. τῆς στυγός. τῇ στυγί. τὴν στύγα. Δ. τὰ, καὶ ὦ στύγε. ταῖν στυγοῖν. Γ. αἱ, καὶ ὦ στύγες. τῶν στυγῶν. ταῖς στυξί. τὰς στύγας.

Δ εῖ δὲ εἰδέναι. ὅτι τὰ εἰς υξ, μονοσύλλαβα μὲν ὄντα, ὀξύνεται. στύξ. νύξ. φρύξ. ὑπὲρ μίαν δὲ συλλαβήν, βαρύνεται. αἴτυξ. πομφόλυξ. τὸ δὲ πτέρυξ, ὑπὸ ἀριστάρχου σεσημείωται ὀξυνθέν. ὡς περιεκτικόν. σημαίνει γὰρ τὸ ὅλον μέρος, ἐφ' οὗ φύεται τὰ πτερά. λέγεται δὲ καὶ πτέρυξ βαρυτόνως. σημαῖνον τὰ πτερύγια. κλίνεται μὲν δὴ τὰ μονοσύλλαβα διὰ γ, ἢ τοῦ χ. στυγός. τριχός. τὸ δὲ πνύξ. τῆς πυκνός. σεσημείωται καθ' ὑπερβιβασμόν. πυκνί. πύκνα. τοῦ δὲ νύξ, ἡ μὲν κλίσις ἦν διὰ τοῦ χ. καὶ ἐπειδὴ ἐπλεόνασε τὸ τ, μετέθεσε τὸ χ, εἰς τὸ κ. νυκτός. νυκτί. νύκτα. ψιλὰ γὰρ ψιλῶν ἡγεῖται. καὶ δασέα δασέων. τὰ δὲ ὑπὲρ μίαν συλλαβήν. διὰ γ, αἴτυγος. πομφόλυγος. πτέρυγος προπαροξυτόνως. καὶ πτέρυγος παροξυτόνως. σεσημείωται ἄμπυκος τῷ κ.

Τὰ εἰς οξ θηλυκά.

Ε. ἡ, καὶ ὦ φλόξ. τῆς φλογός. τῇ φλογί. τὴν φλόγα. Δ. τὰ, καὶ ὦ φλόγε. ταῖν φλογοῖν. Γ. αἱ, καὶ ὦ φλόγες. τῶν φλογῶν. ταῖς φλοξί. τὰς φλόγας.

Τὰ εἰς αρ θηλυκά.

Ε. ἡ, καὶ ὦ δάμαρ. τῆς δάμαρτος. τῇ δάμαρτι. τὴν δάμαρτα. Δ. τὰ, καὶ ὦ δάμαρτε. ταῖν δαμάρτοιν. Γ. αἱ, καὶ ὦ δάμαρτες. τῶν δαμάρτων. ταῖς δάμαρσι. τὰς δάμαρτας. ταῦτα δὲ τὰ εἰς αρ σπάνια. ὄαρ. καὶ δάμαρ. τούτου τὸ ἀνάλογον. δάμαρς. ἀφ' οὗ δάμαρτος ἡ γενική. τὸ δὲ ὄαρ, ὄαρος ἐκλίθη.

Τὰ εἰς ηρ θηλυκά.

Ε. ἡ μήτηρ. τῆς μητέρος, καὶ μητρός. τῇ μητέρι, καὶ μητρί. τὴν μητέρα. ὦ μῆτερ. Δ. τὰ, καὶ ὦ μητέρε. ταῖν μητέροιν. Γ. αἱ, καὶ ὦ μητέρες. τῶν μητέρων. ταῖς μητράσι. τὰς μητέρας. Οὕτω καὶ ἡ δημήτηρ. τῆς δημήτερος, καὶ δήμητρος. τῇ δημήτερι, καὶ δήμητρι, τὴν δημήτερα, καὶ

δήμητρα· ὦ δήμητερ. Καὶ ἡ θυγάτηρ· τῆς θυγατέρος, καὶ θυγατρός· τῇ θυγατέρι, καὶ θυγατρί· τὴν θυγατέρα· καὶ ποιητικῶς, θύγατρα· ὦ θύγατερ. τεσσάρων δὲ τούτων ἡ κλητικὴ εἰς ερ· ἃ δὴ καὶ συγκοπὴν πάσχει ἐνικῶς. Ἡ, καὶ ὦ γαστήρ· τῆς γαστέρος, καὶ γαστρός· τῇ γαστέρι, καὶ γαστρί· τὴν γαστέρα.

Ἰστέον ὅτι τὰ εἰς ηρ, εἰ μὲν εἴη μονοσύλλαβα, ὀξύνεται τὸ η φυλάττοντα κατὰ τὴν κλίσιν· κήρ, κηρός. εἰ δὲ ὑπὲρ μίαν συλλαβήν, βαρύνεται. τὰ ἐκκλινόμενα· εἰνάτηρ, εἰνάτερος· δημήτηρ, δημήτερος. θυγάτηρ, θυγατέρος. σεσημείωται τὸ γαστὴρ γαστέρος ὀξυνόμενον. Ἔτι τὰ βαρυνόμενα ἐπ' εὐθείας, προπαροξύνεται ἐπὶ τῶν πλαγίων· εἰνάτερος· δημήτερος. τοῦτο δὲ καὶ πέπονθος, δήμητρος· πλὴν τοῦ μήτηρ, καὶ θυγάτηρ· ἅτινα ἐντελῆ μὲν ὄντα, παροξύνεται ἐπὶ τῶν πλαγίων· μητέρος· θυγατέρος. πεπονθότα δὲ, ὀξύνεται· μητρός· θυγατρός. τούτου δὲ συγκοπεῖσα ἡ αἰτιατική, προπαροξύνεται, θύγατρα· εἴρηται περὶ τούτων πλείω ἄττα ἀνωτέρω ἐπὶ τοῦ πάν.

Εἰς ειρ τὸ χεὶρ μόνον θηλυκόν.

Ε. ἡ, καὶ ὦ χείρ· τῆς χειρός· τῇ χειρί· τὴν χεῖρα. Δ. τὼ, καὶ ὦ χεῖρε ἀρσενικῶς· ταῖν χεροῖν· ὡς ἐπὶ τὸ πλεῖστον ἐξαιρέσει τοῦ ι. Γ. αἱ χεῖρες· τῶν χειρῶν· ταῖς χερσίν, ἐξαιρέσει τοῦ ι. τὰς χεῖρας. τὸ δὲ χερός, καὶ χερί, καὶ χέρα καὶ τ' ἄλλα ἄνευ τοῦ ι, ποιητικά.

Τὰ εἰς ας θηλυκά.

Ε. ἡ, καὶ ὦ παλλάς· τῆς παλλάδος· τῇ παλλάδι· τὴν παλλάδα. Δ. τὰ, καὶ ὦ παλλάδε· ταῖν παλλάδοιν. Γ. αἱ, καὶ ὦ παλλάδες· τῶν παλλάδων· ταῖς παλλάσι· τὰς παλλάδας. Οὕτω καὶ ἑλλάς, ἑλλάδος· καὶ δρυϊάς, δρυϊάδος· καὶ τὰ ὅμοια· ὀξύνεται γὰρ πάντα ἰῶ δὲ κλινόμενα· καὶ βραχὺ τὸ α ἔχοντα. τὸ δὲ ἀκράγας, ἀκράγαντος· καὶ τάρας, τάραντος ὀνόματα πόλεων, βαρύνεται· τὴν κλίσιν τῶν ὀνομάτων, ἀφ' ὧν ὠνομάσθη, φυλάττοντα.

Τὰ εἰς ης θηλυκά.

Ε. ἡ, καὶ ὦ φιλότης· τῆς φιλότητος· τῇ φιλότητι· τὴν φιλότητα. Δ. τὰ, καὶ ὦ φιλότητε· ταῖν φιλοτήτοιν. Γ. αἱ, καὶ ὦ φιλότητες· τῶν φιλοτήτων· ταῖς φιλότησι· τὰς φιλότητας.

Ἰστέον ὅτι πάντα τὰ εἰς της θηλυκὰ μονογενῆ οὕτω κλίνεται· ἀγαθότητος· λαμπρότητος· ματαιότητος· ἐσθῆτος· πάρνητος· καὶ τροπῇ τοῦ τ, εἰς θ· πάρνηθος. τὰ δὴ κοινὰ τῶν γενῶν ζητητέα ἐν τοῖς ἀρσενικοῖς.
Ἰστέον ἔτι, ὅτι πάντα ὑπὲρ δύο συλλαβάς, βαρύνεται· ποσότης· ποιότης· πλὴν τοῦ ταχυτής, καὶ βραδυτής· καὶ ἁδροτής· καὶ δηϊοτής.

Τὰ εἰς ις θηλυκά.

Ε. ἡ ἀμαρυλλίς· τῆς ἀμαρυλλίδος· τῇ ἀμαρυλλίδι· τὴν ἀμαρυλλίδα· ὦ ἀμαρυλλί, καὶ ἀμαρυλλίς. Δ. τὰ, καὶ ὦ ἀμαρυλλίδε· ταῖν ἀμαρυλλίδοιν. Γ. αἱ, καὶ ὦ ἀμαρυλλίδες· τῶν ἀμαρυλλίδων· ταῖς ἀμαρυλλίσι· τὰς ἀμαρυλλίδας.
Τὸν αὐτὸν δὴ τρόπον κλίνεται πάντα τὰ εἰς ις ὀξυνόμενα μονοκατάληκτα· εἴτε βραχὺ ἔχοι τὸ ι, οἷον ἀσπίς, ἀσπίδος· πριαμίς, πριαμίδος, εἴτε μακρόν, οἷον κρηπίς, κρηπίδος, σφραγίς, σφραγίδος· κνημίς, κνημίδος· γλωσσίς, γλωσσίδος. οἷς ἠκολούθησε καὶ τὰ εἰς ις περισπώμενα· πλὴν ὅτι ἐπὶ τῆς αἰτιατικῆς, ἥτις εἰς ιν καταλήγεται· βενδῖς, βενδῖδος· βενδῖν· μολῖς, μολῖδος, μολῖν.
Ε. ἡ θέτις· τῆς θέτιδος· τῇ θέτιδι· τὴν θέτιδα, καὶ θέτιν· ὦ θέτι, καὶ ὦ θέτις. Δ. τὰ, καὶ ὦ θέτιδε· ταῖν θετίδοιν. Γ. αἱ, καὶ ὦ θέτιδες· τῶν θετίδων· ταῖς θέτισι· τὰς θέτιδας.
Οὕτω τοι πάντα τὰ εἰς ις κύρια βαρύτονα κλίνεται· κύπρις, κύπριδος· ἄρτεμις, ἀρτέμιδος· θέμις, θέμιδος. ἔστι δὲ καὶ θέμιτος, δωρικῶς· καὶ θέμιστος ποιητικῶς. τὸ δὲ χάρυβδις, καὶ σάρδις, διὰ τὸ ἐπάλληλον τῶν δ, χαρύβδιος, καὶ σάρδιος. Ἔτι τὰ εἰς νις μακροπαράληκτα, μῆνις, μήνιδος· νεᾶνις, νεάνιδος. ἔτι τὰ εἰς ρις· ὕβρις, ὕβριδος· ἶρις, ἴριδος. τὸ δὲ χάρις, χάριδος κοινῶς, καὶ χάριτος δωρικῶς, καὶ χάριστος ποιητικῶς, καὶ ὕβρις, ὕβριος· καὶ ἄκρις, ἄκριος, καὶ ἄγυρις, ἀγύριος· καὶ τὰ παρ' αὐτό· πανήγυρις, πανηγύριος· ὁμήγυρις, ὁμηγύριος οὕτω, καὶ κίσηρις, κισήριος, καὶ κάππαρις καππάριος. ἔτι τὰ ἀπ' ἀρσενικῶν εἰς της παρεσχηματισμένα· ὁ τοξότης, ἡ τοξότις, τῆς τοξότιδος· ὁ πολίτης, ἡ πολῖτις, τῆς πολίτιδος· ὁ κυνηγέτης, ἡ κυνηγέτις, τῆς κυνηγέτιδος. ἔτι ὅσα εἰς στις ὑπὲρ δύο συλλαβάς, ἄγρωστις, ἀγρώστιδος· βούβρωστις βουβρώστιδος, ἄμυστις, ἀμύστιδος. τὸ δὲ θέτιος ἰακόν, ὡς μήνιος· ὅθεν θέτιν, καὶ μῆνιν ἐπὶ αἰτιατικῆς· μῆνιν ἄειδε θεά.
Ε. ἡ φύσις· τῆς φύσιος κοινῶς, καὶ φύσεος ἰωνικῶς, καὶ φύσεως ἀττικῶς.

τῇ φύσι, φύσι, καὶ φύσεϊ, φύσει. τὴν φύσιν, ὦ φύσι, καὶ ὦ φύσις. Δ. τὼ, καὶ ὦ φύσιε, καὶ φύσεε. ταῖν φυσίοιν, καὶ φυσέοιν, καὶ φυσεῷν. Γ. αἱ, καὶ ὦ φύσιες, φύσις, καὶ φύσεες, φύσεις. τῶν φυσίων, καὶ φυσέων, καὶ φύσεων. ταῖς φύσισι, καὶ φύσεσι. τὰς φύσιας, φύσις, καὶ φύσεας, φύσεις.

Οὕτω τοι καὶ λέξις, καὶ τέρψις, καὶ ὅσα διὰ τοῦ ξ. ἢ ψ. ἢ σ. ἐσχατοσυλλαβεῖ ῥηματικά. ἔτι τὰ εἰς νις βραχυκατάληκτα. κόνις, κόνιος, πάνις πάνιος. φρόνις φόνιος. ὕνις, ὕνιος. Ἔτι τὰ προσηγορικὰ βαρύτονα μὴ φύσει ὄντα μακροπαράληκτα. πόλις, πόλιος. καὶ τὰ παρὰ τοῦτο, ἀκρόπολις, ἀκροπόλιος. σύν τε τάχθω τοῖς τοιούτοις. φάλλις, φάλλιος, νέμεσις, νεμέσιος. καὶ πόλεων αἰγυπτίων ὀνόματα. ξοῦϊς, ξούϊος. θμοῦϊς, θμούϊος. ταμίαθις ταμιάθιος. τὰ δὲ διὰ δύο ἀμεταβόλων, ἢ δύο συμφώνων ἐκφερόμενα, ὧν τὸ δεύτερον ἀμετάβολόν ἐστι, διὰ τοῦ θ κλίνεται. μέρμις, μέρμιθος. δέλλις, δέλλιθος, ἄγλις, ἄγλιθος. ὄρνις, ὄρνιθος. πλὴν τοῦ φάλλιος.

Τὰ εἰς εις θηλυκά.

Ε. ἡ κλείς. τῆς κλειδός. τῇ κλειδί. τὴν κλεῖδα. ὦ κλεῖ, καὶ ὦ κλείς. Δ. τὼ, καὶ ὦ κλεῖδε. ταῖν κλειδοῖν. Γ. αἱ, καὶ ὦ κλεῖδες. τῶν κλειδῶν. ταῖς κλεισί. τὰς κλεῖδας.

Ε. ἡ ὀπόεις. τῆς ὀπόεντος. τῇ ὀπόεντι. τὴν ὀπόεντα. ὦ ὀπόει. καὶ ὦ ὀπόεις. καὶ ὀπόεν παροξυτόνως καὶ τὰ λοιπὰ ὁμοίως τοῖς ἀρσενικοῖς.

Τὰ εἰς ους θηλυκά.

Ε. ἡ ὀποῦς περισπωμένως, τῆς ὀποῦντος. τῇ ὀποῦντι, τὴν ὀποῦντα. ὦ ὀποῦ, καὶ ὦ ὀποῦς. Δ. τὼ, καὶ ὦ ὀποῦντε. ταῖν ὀπούντοιν. Γ. αἱ, καὶ ὦ ὀποῦντες, τῶν ὀπούντων. ταῖς ὀποῦσι. τὰς ὀποῦντας.

Οὕτω κλίνεται ἡ τραπεζοῦς, καὶ κερασοῦς, καὶ τὰ τοιαῦτα εἰς ους ὀνόματα πόλεων.

Τὰ εἰς υς θηλυκὰ βαρύτονα.

Ε. ἡ χέλυς, τῆς χέλυος, τῇ χέλυϊ, τὴν χέλυν, ὦ χέλυ, καὶ ὦ χέλυς. Δ. τὼ, καὶ ὦ χέλυε, ταῖν χελύοιν. Γ. αἱ, καὶ ὦ χέλυες, χέλυς. τῶν χελύων, ταῖς χέλυσι, τὰς χέλυας, χέλυς. ἀκολουθεῖ μέν γε τούτῳ τὸ πίτυς, καὶ γένυς. καὶ ἕτερα εἰς υς θηλυκὰ βαρύτονα, πλὴν τοῦ κώμυς, καὶ κόρυς. κώμυθος γάρ, καὶ κόρυθος, διὰ τοῦ θ.

Τὰ εἰς υς θηλυκὰ ὀξύτονα βραχυκατάληκτα.

Ε. ἡ χλαμὺς, τῆς χλαμύδος, τῇ χλαμύδι, τὴν χλαμύδα. ὦ χλαμὺ, καὶ ὦ χλαμύς. Δ. τὼ, καὶ ὦ χλαμύδε. ταῖν χλαμύδοιν. Γ. αἱ, καὶ ὦ χλαμύδες, τῶν χλαμύδων, ταῖς χλαμύσι, τὰς χλαμύδας. Οὕτω τοι κλίνεται τὰ εἰς υς πάντα ὀξύτονα, ἃ συνεσταλμένον ἔχει τὸ υ. οἷον πηλαμὺς, πηλαμύδος. κροκὺς, κροκύδος.

Τὰ εἰς υς ὀξύτονα μακροκατάληκτα.

Ε. ἡ τηθύς. τῆς τηθύος. τῇ τηθύϊ. τὴν τηθύν. ὦ τηθὺ, καὶ ὦ τηθύς. Δ. τὼ, καὶ ὦ τηθύε. ταῖν τηθύοιν. Γ. αἱ, καὶ ὦ τηθύες, τηθῦς, τῶν τηθύων. ταῖς τηθύσι, τὰς τηθύας, τηθῦς.

Παραπλησίως γε τούτῳ κλινεῖς τὰ εἰς υς πάντα ὀξύτονα. ἃ ἐκτεταμένον ἔχει τὸ υ. οἷον ἐριννὺς ἐριννύος, πληθὺς, πληθύος, ἀχλὺς, ἀχλύος, ὀϊζὺς, ὀϊζύος, ὀαριστὺς, ὀαριστύος, δρῦς, δρυός. περισπώμενον ὂν κατὰ ἡρωδιανὸν, ὡς εἴρηται ἐν τοῖς ἀρσενικοῖς. λέγει γὰρ, ὅτι τὰ εἰς υς μονοσύλλαβα πάντα περισπᾶται ὡσαύτως δὲ καὶ ταυτὶ τὰ τρία, ὀσφῦς, ὀφρῦς, ὀϊζῦς. ἐξαιρεῖται ἀχλὺς, ἀχλῦθος διὰ τοῦ θ κλινόμενον. ἐπεί γε ἡ γενικὴ προπερισπᾶται, ὅτι πᾶσα γενικὴ εἰς θος μακροπαραληκτεῖ, οἷον ὄρνιθος. μέρμιθος. δέλλιθος. Δεῖ δὲ εἰδέναι, ὅτι δι᾽ ἀλλήλων δείξει καὶ τὰ δῆλον γίνεται ἐπὶ τῶν ἐπὶ τέλους ἐχόντων τὸν τόνον, ποῖα, μακρὸν ἔχει τὸ υ. καὶ ποῖα βραχύ. ἐὰν μὲν γὰρ διὰ καθαροῦ τοῦ ος κλίνηται. μακρόν. ἐὰν δὲ διὰ τοῦ δος, βραχύ. πάλιν τὰ μὲν μακρὸν ἔχοντα τὸ υ. διὰ καθαροῦ τοῦ ος. τὰ δὲ βραχὺ, διὰ τοῦ δος κλίνεται. Ἐκεῖνο δέ τοι παρατηρητέον. ὡς οὐκ ἐν ἁπάσαις ταῖς πλαγίαις μακρὸν μένει τὸ υ, ἀλλ᾽ ἐν μόναις τῇ εὐθείᾳ ἰσοσυλλαβούσαις, οἷον ὀϊζῦς ὀϊζυῖ. ὀϊζῦ, αἱ δὲ λοιπαὶ, βραχύ. σημειούμεθα δὲ τὴν μῦσιν, ἐκτεταμένον ἔχουσαν τὸ υ. καὶ ταῦτα τὰ διὰ καθαροῦ κλινόμενα εἰς ῦν ποιεῖ κοινῶς τὴν αἰτιατικήν. τὴν ἐριννὺν, ὀϊζύν. δρῦν. παρὰ ποιηταῖς δὲ, ἔσθ᾽ ὅτε καὶ εἰς α, ὡς εἴρηται, τὴν νηδύα, τὴν δρύα.

Περὶ οὐδετέρων ὀνομάτων περιττοσυλλάβων.

Τὰ εἰς α οὐδέτερα.

Ε. τὸ βῆμα τεχνικῶς. τοῦ βήματος. τῷ βήματι. καὶ τὰ λοιπὰ ὁμοίως

τῷ γράμμα.

Ἰστέον δέ, ὅτι πᾶν εἰς α οὐδέτερον μονογενὲς ὄν, τὸ μ ἔχει πρὸ τοῦ α· κῦμα· ῥῆμα· ποίημα· στέμμα. τὸ δὲ μέγα, τριγενές τε, καὶ ἑτερόκλιτόν ἐστιν, ὧδε κλινόμενον.

Ε. τὸ μέγα τριπτώτως, τοῦ μεγάλου, τῷ μεγάλῳ. Δ. τὼ, καὶ ὦ μεγάλω, τοῖν μεγάλοιν. Γ. τὰ μεγάλα τριπτώτως, τῶν μεγάλων, τοῖς μεγάλοις.

Ἔτι ἰστέον ὅτι πᾶσα εὐθεῖα, καὶ αἰτιατική, καὶ κλητικὴ τῶν πληθυντικῶν τῶν οὐδετέρων εἰς α λήγει. εἰ δέ που εὑρεθῇ εἰς η λήγουσα, κατὰ συναίρεσιν γίνεται, οἷον τὰ τείχεα, τείχη. πλὴν τῶν ἀττικῶν εἰς ων οὐδετέρων, ἅτινα εἰς ω μέγα λήγει ἐπὶ τῆς εὐθείας, καὶ αἰτιατικῆς, καὶ κλητικῆς τῶν πληθυντικῶν, οἷον τὰ εὔγεω τριπτώτως. τὸ δὲ κάρα πεπονθὸς, παρὰ τὸ κάρηνον γεγονός, ὅθεν καὶ ἐκτεταμένον ἔχει τὸ α ἑτερόκλιτον ὄν, κλίνεται ὧδε.

Τὸ κάρα, τοῦ κρατός. τῷ κρατί. τὸ, καὶ ὦ κάρα. καὶ ἡ, καὶ ὦ κράς. τῆς κρατός. τῇ κρατί. τὴν κρᾶτα, καὶ ἡ, καὶ ὦ κάρα, τῆς κάρας, τῇ κάρᾳ τὴν κάραν. Ἔτι τὰ δοκοῦντα τελικὰ οὐδετέρων ὀνομάτων, κατ᾽ ἀποκοπήν ἐστιν, οἷον λίπ᾽ ἐλαίῳ, ἀντὶ τοῦ λιπαρῷ ἐλαίῳ. νίφα, ἀντὶ τοῦ νιφάδα. σκέπα, ἀντὶ τοῦ σκέπασμα, ὕφα, ἀντὶ τοῦ ὕφασμα, ἄλφα, ἀντὶ τοῦ ἄλφας. γάλα ἀπὸ τοῦ γάλαξ. ὅθεν γάλακος, καὶ πλεονασμῷ τοῦ τ γάλακτος. τὸ μὲν γὰρ τ συνήθως πλεονάζειν, καὶ ἐνδεῖν ταῖς γενικαῖς. πλεονάζει μὲν, ὡς ἐν τῷ νυκτός, ἄνακτος, γάλακτος. ἐνδεῖ δέ, ὡς ἐν τῷ μέλανος. τάλανος.

Δεῖ δὲ εἰδέναι, ὅτι τὰ εἰς α οὐδέτερα ἀεὶ βαρύνεται διὰ τοῦ τος κλινόμενα. αἷμα, αἵματος. βάμμα βάμματος. ποίημα ποιήματος, καθάπερ τοῖς ἀνωτέρω δέδεικται παραδείγμασιν.

Τὰ εἰς ι οὐδέτερα.

Ε. τὸ μέλι τριπτώτως. τοῦ μέλιτος. τῷ μέλιτι. Δ. τὼ, καὶ ὦ μέλιτε. τοῖν μελίτοιν. Γ. τὰ μέλιτα τριπτώτως. τῶν μελίτων. τοῖς μέλισι.

Οὕτω δὲ καὶ τὰ παρ᾽ αὐτὸ σύνθετα κλίνεται, οἷον, τὸ ὀξύμελι τοῦ ὀξυμέλιτος. τὸ οἰνόμελι, τοῦ οἰνομέλιτος. τὰ γὰρ εἰς ι οὐδέτερα μονογενῆ ἑλληνικὰ διὰ τοῦ τος κλίνεται. ἔστι μέντοι ἓν μόνον εἰς ι οὐδέτερον ἑλληνικόν. τὸ μέλι, καὶ τὰ παρ᾽ αὐτὸ σύνθετα. εἰ δὲ μὴ ἑλληνικὰ εἴη. διὰ καθαροῦ τοῦ ος. τὸ πέπερι, τοῦ πεπέριος. τὸ κόμμι, τοῦ κόμμιος. τὸ κιννάβαρι, τοῦ κινναβάριος. τὸ κίκι, τοῦ κίκιος. τὸ στίμμι, τοῦ στίμμιος. τὸ σίνηπι, τοῦ σινήπιος. κλίνεται δὲ καὶ διὰ τοῦ εος ἰωνικῶς, καὶ εως

ἀττικῶς. ὡς δέδεικται ἐπὶ τοῦ σίνηπι. τὰ δὲ οὐδέτερα τῶν εἰς ις κοινῶν, κατὰ τὰ ἴδια κλίνεται. οἷον, τὸ φιλόπατρι, τοῦ φιλοπάτριδος. ὅτι ὁ καὶ ἡ φιλόπατρις, φιλοπάτριδος. τὸ φιλόπολι, τοῦ φιλοπόλιος, καὶ φιλοπόλιδος. ὅτι ὁ καὶ ἡ φιλόπολις, φιλοπόλιος, καὶ φιλοπόλιδος. τὸ τι, τοῦ τινός. ὀξυτόνως ἀορίστως, καὶ τὸ τί, τοῦ τίνος ἐρωτηματικῶς, βαρυτόνως. ὅτι τὶς τινὸς ὀξυτόνως ἀορίστως. καὶ τίς. τίνος βαρυτόνως, ἐρωτηματικῶς. τὸ δὲ ἄλφι, ἀντὶ τοῦ ἄλφιτος, καὶ τὸ ἔρι, ἀντὶ τοῦ ἔριον, καὶ φόφι, ἀντὶ τοῦ φόφιμον, καὶ κεῖ, ἀντὶ τοῦ κείμενον ἀποκέκοπται, καὶ οὐδεμία αὐτῶν πτῶσις εὑρίσκεται.

Τὰ εἰς υ οὐδέτερα.

Ε. τὸ πῶυ τριπτώτως. τοῦ πώεος. τῷ πώει. Δ. τὼ, καὶ ὦ πώεε τοῖν πώεοιν. Γ. τὰ πώεα τριπτώτως. τῶν πώεων. τοῖς πώεσι.

Ε. τὸ γόνυ τριπτώτως, τοῦ γόνυος. τῷ γόνυϊ. Δ. τὼ. καὶ ὦ γόνυε, τοῖν γονύοιν. Γ. τὰ γόνυα τριπτώτως. τῶν γονύων, τοῖς γόνυσι.

Δεῖ δὲ εἰδέναι, ὅτι τὰ εἰς υ οὐδέτερα, εἰ μὲν μακρᾷ παραλήγεται, διὰ τοῦ ε κλίνεται, ἄστυ ἄστεος, πῶυ, πώεος, εἰ δὲ βραχείᾳ, σώζει τὸ υ. γόνυ, γόνυος, δόρυ, δόρυος, καὶ ἐν ἐπενθέσει γουνός. καὶ δουρός. τὸ δὲ δορός, δορί, συνεκόπη. τινὲς δέ φασιν, ὅτι τὸ γουνὸς καὶ δουρὸς, παρὰ τὸ γούνατος, καὶ δούρατος γίνεται κατὰ συγκοπήν, ἀπὸ τῆς εἰς ας ληγούσης εὐθείας, γοῦνας, καὶ δοῦρας. ἐξ ὧν τὰ γούνατα, καὶ δούρατα. ὡς ἀπὸ γόνας, καὶ δόρας, τὰ γόνατα καὶ δόρατα. λέγεται καὶ τὸ δόρος, τοῦ δόρεος, δόρους, τῷ δόρει, δόρει. τὸ δὲ δάκρυ, κλίνεται καὶ ὡς τὰ μακροπαράληκτα, δάκρυος, δάκρυϊ. καὶ ὡς τὰ βραχυπαράληκτα. δάκρεος, δάκρει τῷ λόγῳ τῆς παραληγούσης κοινῆς οὔσης. ἔστι δὲ καὶ τὸ δάκρυον, τοῦ δακρύου. Τὰ δὲ οὐδέτερα εἰς υ, καὶ εἰς αν, καὶ εἰς εν τῶν τριγενῶν εἴτε ἐπιθετικὰ εἴη, εἴτε μετοχικά, τοῖς ἀρσενικοῖς ἠκολούθησε. τὸ ἡδύ. τοῦ ἡδέος. τὸ ἥμισυ, τοῦ ἡμίσεος, ὅτι ὁ ἡδύς, τοῦ ἡδέος. ὁ ἥμισυς, τοῦ ἡμίσεος, τὸ πᾶν, τοῦ παντός. ὅτι ὁ πᾶς, τοῦ παντός. τὸ μέλαν, τοῦ μέλανος. ὅτι ὁ μέλας, τοῦ μέλανος. τὸ τύψαν, τοῦ τύψαντος, ὅτι ὁ τύψας, τοῦ τύψαντος. τὸ χαρίεν, τοῦ χαρίεντος, ὅτι ὁ χαρίεις, τοῦ χαρίεντος, τὸ τέρεν, τοῦ τέρενος, ὅτι ὁ τέρην, τοῦ τέρενος, τὸ τυφθὲν, τοῦ τυφθέντος, ὅτι ὁ τυφθείς, τοῦ τυφθέντος, τὸ δίπουν, τοῦ δίποδος, ὅτι ὁ δίπους τοῦ δίποδος. τὸ τυποῦν, τοῦ τυποῦντος, ὅτι ὁ τυπῶν, τοῦ τυποῦντος, τὸ χρυσοῦν, τοῦ χρυσοῦντος, ὅτι ὁ χρυσῶν, τοῦ χρυσοῦντος.

Τὰ εἰς ρ̄ οὐδέτερα.

Ε. τὸ νέκταρ τριπτώτως, τοῦ νέκταρος, τῷ νέκταρι. Δ. τὼ, καὶ ὦ νέκταρε, τοῖν νεκτάροιν. Γ. τὰ νέκταρα τριπτώτως, τῶν νεκτάρων, τοῖς νέκταρσι.

Ε. τὸ δέλεαρ τριπτώτως. τοῦ δελέατος, τῷ δελέατι. Δ. τὼ, καὶ ὦ δελέατε, τοῖν δελεάτοιν. Γ. τὰ δελέατα τριπτώτως, τῶν δελεάτων. τοῖς δελέασι.

Ε. τὸ κῆρ τριπτώτως, τοῦ κηρὸς, τῷ κηρί. Δ. τὼ, καὶ ὦ κῆρε, τοῖν κηροῖν. Γ. τὰ κῆρα τριπτώτως. τῶν κηρῶν, τοῖς κηρσί.

Ε. τὸ πῦρ τριπτώτως, τοῦ πυρός. τῷ πυρί. τὰ δὲ λοιπὰ ἄχρηστα.

Ε. τὸ ἄορ τριπτώτως, τοῦ ἄορος, τῷ ἄορι. Δ. τὼ, καὶ ὦ ἄορε, τοῖν ἀόροιν. Γ. τὰ ἄορα τριπτώτως, τῶν ἀόρων. τοῖς ἄορσι.

Ε. τὸ ἕλωρ τριπτώτως, τοῦ ἕλωρος, τῷ ἕλωρι. Δ. τὼ, καὶ ὦ ἕλωρε. τοῖν ἑλώροιν. Γ. τὰ ἕλωρα τριπτώτως. τῶν ἑλώρων, τοῖς ἕλωρσι.

Ε. τὸ ὕδωρ τριπτώτως, τοῦ ὕδατος, τῷ ὕδατι. Δ. τὼ, καὶ ὦ ὕδατε, τοῖν ὑδάτοιν. Γ. τὰ ὕδατα τριπτώτως. τῶν ὑδάτων. τοῖς ὕδασι.

Δ εῖ δὲ εἰδέναι, ὅτι τὰ εἰς ρ̄ οὐδέτερα τὸ ρ̄ φυλάττοντα κλίνεται, οἷον ἔαρ ἔαρος, ἄορ, ἄορος, κῆρ, κηρός. πῦρ, πυρός. ἕλωρ, ἕλωρος. Τὰ δὲ εἰς ρ̄ διὰ τοῦ τ̄ κλινόμενα, ταῦτα, φρέαρ, φρέατος. δέλεαρ, δελέατος. ἧπαρ ἥπατος. ὕδωρ, ὕδατος. ἅτινα ἑτερόκλιτά ἐστιν ἀφ' ἑτέρων εὐθειῶν ἀχρήστων γινόμενα τῆς φρέας, δέλεας, ἧπας, ὕδας. φιλεῖ δὲ οὕτω κλίνεσθαι τὰ ὑπὲρ δύο συλλαβάς. ἄλειφαρ, ἀλείφατος. ὄνειαρ, ὀνείατος. κέρηαρ κερήατος. ἔτι καὶ τὰ δισύλλαβα φύσει μακροπαράληκτα, οὖθαρ, οὔθατος, ἦμαρ ἤματος, εἶδαρ, εἴδατος, ὕδωρ, ὕδατος, πλὴν τοῦ ἦτορ ἤτορος. Τὰ γὰρ βραχεῖα ἢ θέσει μακρᾷ παραληγόμενα ἀεὶ σώζει τὸ ρ̄ ἐπὶ τῶν πλαγίων. ἔαρ, ἔαρος. νέκταρ, νέκταρος. ὕπαρ, ὕπαρος. θέναρ, θέναρος. Σημειούσθω τὸ φρέαρ, καὶ στέαρ ὡς τὰ κλιθέντα ὅγε μὴν συνέβη, διότι καὶ αὐτὰ ἦν φύσει μακροπαράληκτα φρεῖαρ, στεῖαρ, τὸ δὲ στῆρ στηρός. καὶ φῆρ, φηρός. καὶ κῆρ κηρός, καὶ ἦρ ἠρός, συνῄρηται παρὰ τὸ στέαρ, καὶ φέαρ, καὶ κέαρ, καὶ ἔαρ γινόμενα. ὅθεν ἐπὶ τῆς εὐθείας περισπᾶται. Τὰ εἰς ο̄ρ σπάνια, ὡς ἔχει τὸ ἦτορ ἤτορος, καὶ ἄορ ἄορος, καὶ τὰ παρ' αὐτὰ σύνθετα. μεγαλήτορ. χρυσάορ. ἔτι τὰ εἰς ῡρ ἕν, λέγω, τὸ πῦρ, ἐπὶ μόνης εὐθείας ἐκτεῖνον τὸ ῡ. Ἔστι καὶ τὰ εἰς ωρ σπάνια τυγχάνοντα. ὡς ἔχει τὸ πέλωρ, καὶ ἕλωρ, καὶ ὕδωρ, οὗτινος ἐπὶ μόνης εὐθείας ἐκτείνεται τὸ ῡ.

Τὰ εἰς ᾱς οὐδέτερα.

Ε. τὸ κέρας τριπτώτως. τοῦ κέρατος κοινῶς, καὶ κέραος ἰωνικῶς, καὶ κέρως ἀττικῶς. ὁμοίως τῷ γῆρας. ὅπερ ἐκλίθη ἐν τῇ πέμπτῃ κλίσει τῶν συνῃρημένων. τὰ γὰρ εἰς ᾱς οὐδέτερα, ὅσα κλίνεται, ἡ μὲν κοινὴ διάλεκτος διὰ τοῦ τος κλίνει κρέατος, γήρατος, ἡ δὲ τῶν ἰώνων ἐκ τοῦ κοινοῦ τὸ τ̄ ἀποβάλλει διὰ καθαροῦ τοῦ ο̄ς κλίνουσα κρέαος, γήραος, ἡ δὲ τῶν ἀττικῶν κιρνῶσα τοῦ ἰωνικοῦ τὸ ᾱ, καὶ ο̄, εἰς ω̄ μέγα κρέως, γήρως ποιεῖ. κλίνεται δὲ οὕτως ὅσα βραχὺ ἔχει τὸ ᾱς ἢ τὸ ρ̄ πρὸ τοῦ ᾱς. εἰ δέ που εὑρεθῇ εἰς ᾱς οὐδέτερον ἕτερόν τι σύμφωνον πρὸ τοῦ ᾱς ἔχον εἶτα κλινόμενον (σπανίως δὲ τοῦτο γίνεται) κατὰ τὴν κοινὴν μόνην κλίνεται, οἷον ἐρυσίπελας, ἐρυσιπέλατος, ἅλας, ἅλατος. τὸ δὲ σέλας, καὶ δέπας, καὶ λέπας, καὶ δέμας ἄκλιτά ἐστι. παρὰ ποιηταῖς δὲ εὕρηταί ποτε κλινόμενα ἀδείᾳ ποιητικῇ.

Τὸ εἰς ᾱυς οὐδέτερον ἓν μόνον.

Ε. τὸ σταῦς τριπτώτως. τοῦ σταυτὸς. τῷ σταυτί. Δ. τὼ, καὶ ὦ σταῦτε, τοῖν σταυτοῖν. Γ. τὰ σταῦτα τριπτώτως. τῶν σταυτῶν. τοῖς σταυσί.

Τὰ εἰς ε̄ς οὐδέτερα.

Ε. τὸ εὐγενὲς τριπτώτως. τοῦ εὐγενέος, εὐγενοῦς ὁμοίως τῷ ἀληθές. Ἔτι δὲ πάντα τὰ εἰς ε̄ς οὐδέτερα ἀεὶ ἐπιθετικά. ὁ, καὶ ἡ ἀληθὴς, καὶ τὸ ἀληθές. ὁ καὶ ἡ εὐσεβής. καὶ τὸ εὐσεβές. ὁ, καὶ ἡ ἐπιμήκης βαρυτόνως καὶ τὸ ἐπίμηκες προπαροξυτόνως. οὕτω καὶ εὔηθες, καὶ παμμέγεθες, καὶ τὰ τοιαῦτα.

Τὰ εἰς ο̄ς οὐδέτερα.

Ε. τὸ μέλος τριπτώτως. τοῦ μέλεος ἰωνικῶς, καὶ μέλους κοινῶς, καὶ μέλευς δωρικῶς ὁμοίως τῷ τεῖχος τῆς πρώτης κλίσεως τῶν συνῃρημένων.

Δ εῖ δὲ εἰδέναι, ὅτι τὰ εἰς ο̄ς οὐδέτερα ἀεὶ μονογενῆ ἐστι, καὶ βαρύνεται, καὶ τὴν γενικὴν ἔχει εἰς ους συνῃρημένην ἐξ ὁλοκλήρου τῆς εἰς εος. τέλος τέλεος, τέλους. βέλος, βέλεος, βέλους. τὸ δὲ ὄφελος, καὶ ἦδος ἔμεινεν ἄκλιτα. τὰ δέ τοι εἰς ο̄ς μετοχικὰ περιττοσυλλάβως μόνον κλίνεται, οἷον τὸ τετυφὸς, τοῦ τετυφότος.

Τὰ εἰς ως οὐδέτερα.

Ε. τὸ φῶς τρεῖς πτώσεις· τοῦ φωτός, τῷ φωτί. Δ. τώ, καὶ ὦ φῶτε. τοῖν φωτοῖν. Π. τὰ φῶτα τρεῖς πτώσεις. τῶν φώτων. τοῖς φωσί. ἔστι δὲ δύο μόνα τὰ εἰς ως οὐδέτερα, τὸ φῶς, καὶ τὸ ὦς, ἃ δὴ περισπώμενα διὰ τοῦ τ κλινόμενα. φῶς φωτός. ὦς ὠτός. λέγεται δὲ καὶ τὸ οὖς μηκέτι κλινόμενον καὶ δισυλλάβως· τὸ οὖας, τοῦ οὔατος.

Ἰστέον δὲ ὅτι οὐκ ἀπὸ τοῦ φάος, καὶ ἄος ἐγένετο φῶς, καὶ ὦς. τὰ γὰρ πεπονθότα τὴν τῶν ἐντελῶν φυλάττει τὴν κλίσιν· ἐκείνων δὲ αἱ γενικαὶ φάους, καὶ ἄους, ἀλλὰ ταῦτα καθ᾽ ὑπέρθεσιν γίνεται φάος, φόας. ἄος ὄας, καὶ κατὰ κρᾶσιν φῶς, καὶ ὦς. κλίνεται δὲ διὰ τοῦ τ, ἐπεὶ καὶ τὸ φόας, φόατος, καὶ ὄας ὄατος, διὰ τοῦ τ κλίνεται. τὸ δὲ φῶς κατὰ πλεονασμὸν τοῦ ο λέγεται φόως, ὡς ξενοφῶν, ξενοφόων, δημοφῶν δημοφόων, λαοκῶν, λαοκόων, καὶ τὰ τοιαῦτα, ποιητικῶς.

Περὶ τῆς αἰτιατικῆς τῶν ἑνικῶν τῶν περιττοσυλλάβων.

Ἡ τῶν ἑνικῶν αἰτιατικὴ ἀπὸ τῆς δοτικῆς τροπῇ τοῦ ι εἰς α γίνεται, αἴαντι, αἴαντα. δεῖ γε μὴν εἰδέναι, ὅτι τὰ εἰς υς ἢ εἰς ις, εἰ μὴ διὰ καθαροῦ τοῦ ος κλίνοιτο, καίτοι περιττοσυλλάβως κλινόμενα, ὅμως εἰς ν ποιεῖ τὴν αἰτιατικὴν ἰσοσύλλαβον τῇ εὐθείᾳ, ὄφις, ὄφιος, ὄφιν. λέξις, λέξεως, λέξιν. χέλυς, χέλυος, χέλυν. βότρυς, βότρυος, βότρυν. ὡσαύτως δὲ καὶ ἐπὶ τῶν εἰς υς ὀξυτονουμένων. ὁ ἡδύς, τοῦ ἡδέος τὸν ἡδύν. ἡ ἐριννύς, τῆς ἐριννύος, τὴν ἐριννύν. ἡ δρῦς, τῆς δρυός, τὴν δρῦν. λέγεται δὲ καὶ τὸν ἡδέα· ὡς τὸν αἴαντα, καὶ τὸν βότρυα, καὶ τὴν δρύα. ἀλλ᾽ αἱ εἰς υν ἀπὸ τῶν εἰς υς αἰτιατικαὶ σπανίως εὑρέθησαν καὶ παρὰ ποιηταῖς. Κόϊντος·
Κάππεσεν αὐτ᾽ ἐν ὄρεσσι περὶ στερεὴν δρύα θάμνος.
Ἔτι τῶν εἰς ης διὰ τοῦ εος κλινομένων, τὴν συναιρουμένην αἰτιατικήν, οἱ ἀττικοὶ καὶ ἐπὶ τῶν κυρίων μετὰ τοῦ ν προφέρουσι, τὸν δημοσθένην λέγοντες, καὶ τὸν ἀριστοφάνην. εἰ δὲ μὴ διὰ καθαροῦ τοῦ ος, ἀλλὰ μετὰ συμφώνου, εἰ μὲν ὀξύτονα εἰσί, περιττοσύλλαβον εἰς α ἔχει τὴν αἰτιατικήν, κρηπίς, κρηπῖδος, κρηπῖδα. ἀμαρυλλίς, ἀμαρυλλίδος, ἀμαρυλλίδα. χλαμύς, χλαμύδος, χλαμύδα. εἰ δὲ βαρύτονα, οὐ μόνον περιττοσύλλαβον εἰς α, ἀλλὰ καὶ ἰσοσύλλαβον τῇ εὐθείᾳ, εἰς ν ἔχει τὴν αἰτιατικήν. πάρις, πάριδος, πάριδα, καὶ πάριν ἀπὸ τῆς πάριος γενικῆς κατ᾽ ἐξαίρε-

σιν τοῦ δ ἰωνικῶς μῆνις μήνιδος μήνιδα, καὶ μῆνιν ἀπὸ τῆς μήνιος. ἔπηλυς, ἐπήλυδος, ἐπήλυδα, καὶ ἔπηλυν ἀπὸ τῆς ἐπήλυος. Ἔτι σημειωτέον, τὴν ἑνικὴν αἰτιατικὴν τῶν συγκριτικῶν ὀνομάτων τῶν εἰς ων, συναιρεῖσθαι εἰς ω ἀττικῶς, ἀμείνονα, ἀμείνοα, ἀμείνω ἐξαιρέσει δηλονότι τοῦ ν, καὶ κράσει τοῦ ο, καὶ τοῦ α εἰς τὸ ω μέγα, καὶ ἔτι τὴν εὐθεῖαν, καὶ αἰτιατικὴν τῶν πληθυντικῶν, τῶν μὲν ἀρσενικῶν, καὶ θηλυκῶν εἰς ους, ἀμείνονες, καὶ ἀμείνονας ἀμείνους. τῶν δὲ οὐδετέρων εἰς ω, τὰ ἀμείνονα, ἀμείνω, τὸν ποσειδῶ δὲ, καὶ κυκεῶ, καὶ ἱδρῶ, καὶ ἀπόλλω, καὶ εἰκὼ ἐξ ἀποκοπῆς, καὶ τὸ, τὰς μὲν ἀπὸ τῶν εἰς ευς καθαρῶν αἰτιατικὰς συναιρεῖσθαι εἰς α, πειραιέα, πειραιᾶ. τὰς δὲ ἀπὸ τῶν εἰς ης τῶν ἰώνων αἰτιατικάς, εἰ μὲν πρὸ τοῦ ε εὑρεθῇ σύμφωνον συναιρεῖσθαι μόνον εἰς η εὐσεβέα εὐσεβῆ, εἰ δὲ φωνῆεν εἰς τε η, καὶ εἰς α ὑγιέα ὑγιῆ, καὶ ὑγιᾶ, εὐφυέα εὐφυῆ, καὶ εὐφυᾶ. καὶ ἔτι τὸ σοφοκλέης, καὶ τἆλλα εἰς ης διὰ τοῦ ε παραληγόμενα, συναιρεῖσθαι ἐπὶ τῆς εὐθείας τῶν ἑνικῶν. περικλέης, περικλῆς, καὶ τούτων διπλῆς οὔσης τῆς συναιρέσεως ἐπὶ τῶν πλαγίων, ἐπὶ μὲν τῆς γενικῆς, καὶ αἰτιατικῆς τὴν πρώτην συναίρεσιν εἶναι ἐν χρήσει μόνον σοφοκλέεος, σοφοκλέους. σοφοκλέεα, σοφοκλέα, ἐπὶ δὲ τῆς δοτικῆς τὴν δευτέραν σοφοκλέει σοφοκλεῖ. καὶ ἔτι τὸ ἔνια τῶν εἰς ως ἀττικῶς κλινομένων προφέρεσθαι ἄνευ τοῦ ν. τὸν ἄθω. τὸν λαγώ. τὴν κῶ. τὴν τέω. τὴν ἕω. καὶ ἔτι τὰ εἰς ω προσθέσει τοῦ ν τῇ εὐθείᾳ ποιεῖν τὴν αἰτιατικὴν αἰολικῶς. ἡ λητώ. τὴν λητών. ἡ σαπφώ. τὴν σαπφών. καὶ τροπῇ τοῦ ω εἰς ουν ἰωνικῶς. τὴν λητοῦν, τὴν δερκετοῦν, τὴν σαπφοῦν περισπωμένως, καὶ ἔτι τὸ ἔνια τῶν εἰς υς διὰ τοῦ δ κλινομένων ἐπί τε εὐθείας, καὶ αἰτιατικῆς τῶν πληθυντικῶν συναιρεῖσθαι ἀττικῶς φθοΐδες, καὶ φθοΐδας, φθοῖς. ὀΐδες, καὶ ὀΐδας, οἶς.

Περὶ κλητικῆς.

Πᾶσα κλητικὴ ἐπὶ παντὸς ἀριθμοῦ ὁμόφωνός ἐστι τῇ εὐθείᾳ. πλὴν ὅσον ἐπὶ μὲν ἑνικοῦ, ἀττικῶς ἐπὶ δὲ δυϊκοῦ, καὶ πληθυντικοῦ ὅλως, καὶ ἐπὶ ἑνικοῦ δὲ μὴ ἀττικῶς ἐπὶ μὲν τῶν ὁμοφωνεῖ τῇ εὐθείᾳ ἡ κλητική, ἐπὶ δὲ τῶν οὔ. Τὰ μὲν γὰρ εἰς ας, καὶ εἰς ης τῆς πρώτης κλίσεως τῶν ἰσοσυλλάβων ἀφαιρέσει τοῦ σ ποιεῖ τὴν κλητικήν. ὁ αἰνείας, ὦ αἰνεία, ὁ ἀγχίσης, ὦ ἀγχίση. εἰ μὴ ἔχοι τὸ τ, ἢ ἐθνικὰ εἴη, ἢ ῥηματικά. Ταῦτα γὰρ οὐ μόνον ἀφαιρέσει τοῦ σ, ἀλλὰ καὶ τροπῇ τοῦ η εἰς α βραχύ. ὁ προ-

φήτης ὦ προφῆτα προπερισπωμένως. ὁ δεσπότης ὦ δέσποτα προπαροξυτόνως. ὁ πέρσης, ὦ πέρσα. ὁ βιβλιοπώλης, ὦ βιβλιοπῶλα προπερισπωμένως. ἔτι τὰ εἰς ος τῆς τρίτης τῶν ἰσοσυλλάβων εἰς ε ποιεῖ τὴν κλητικήν. ὁ λόγος, ὦ λόγε. ἔτι τὰ τῆς πέμπτης τῶν περιττοσυλλάβων διὰ τοῦ ντ κλινόμενα, ἀπαθῆ ἀφαιρέσει τοῦ τος. αἴαντος, ὦ αἶαν. χαρίεντος, ὦ χαρίεν. πλὴν γε μὴν πλακοῦς, καὶ σιμοῦς, καὶ τῶν ὁμοίων, ἀφαιρετέον καὶ τὸ ν. σιμοῦντος, ὦ σιμοῦ, πλακοῦντος, ὦ πλακοῦ, ὁ ὀδοὺς δὲ, ὦ ὀδούς ὁμοφώνως. ἔτι ὁ δημοσθένης, καὶ τὰ ὅμοια τροπῇ τοῦ η εἰς ε. ὦ δημόσθενες, καὶ ἀναβιβάζει τὸν τόνον εἰ σύνθετα εἴη, καὶ βαρύτονα. ἔτι ἡ μαντὼ καὶ ἡ αἰδὼς καὶ τὰ τοιαῦτα. τροπῇ τῆς ἐσχάτης εἰς οι δίφθογγον. ὦ μαντοῖ, ὦ αἰδοῖ περισπωμένως. ἔτι τὰ εἰς ἀμετάβολόν τι βαρύτονα ἀποβάλλοντα τῆς γενικῆς τὴν ἐσχάτην ἤγουν τὸ ος. ἕλλην ἕλληνος ὦ ἕλλην. τέρην τέρενος ὦ τέρεν. ἀγαμέμνων ἀγαμέμνονος, ὦ ἀγάμεμνον. ἀπόλλων ἀπόλλωνος, ὦ ἄπολλον. εὐδαίμων εὐδαίμονος, ὦ εὔδαιμον. χάρων χάρωνος, ὦ χάρων. κορύδων, κορύδωνος, ὦ κορύδων. ἐφ' ὧν ποτὲ μὲν λήγει μακρᾷ ἡ κλητικὴ, ποτὲ δὲ βραχείᾳ, καὶ ἐὰν εἰς ον βραχὺ καταλήγῃ ἀπὸ τῶν συνθέτων ἀναβιβάζει τὸν τόνον. ὁ αὐτομέδων, ὦ αὐτόμεδον. ὁ ἐνοσίχθων, ὦ ἐνόσιχθον, πλὴν τῶν ἀπὸ τοῦ φρήν. καὶ γὰρ ὦ δαΐφρον, καὶ ὦ περίφρον παροξυτόνως, ἐξαιρείσθω, τὸ λακεδαῖμον, καὶ τὸ παλαῖμον προπερισπώμενα. τινὲς γε μὴν προστιθέασι, καὶ ὦ εὐδαῖμον τὸ κύριον πρὸς ἀντιδιαστολὴν τοῦ ἐπιθέτου. τούτοις γε ἀναβιβάζουσι τὸν τόνον ἠκολούθησε ποσειδῶν. ὦ πόσειδον γάρ, ὅτι ποσειδάων τὸ ἀπαθές. αἰολεῖς δὲ τῶν εἰς ων πάντων συστέλλουσι τὸ ω ἐπὶ τῆς κλητικῆς, ὦ ἀηδόν, ὦ χελιδόν. ὦ κόρυδον λέγοντες. πρόσκειται τὸ εἰς ον βραχὺ, διὰ τὰ, ὦ χαλκοχίτων, ὦ φιλοπλάτων, ἅτινα μακροκατάληκτα. ἔτι πρόσκειται ἀπὸ τῶν συνθέτων, διὰ τὸ ἱκετᾶον, καὶ μαχᾶον, καὶ ἀρετᾶον. ταῦτα γὰρ οὐ προπαροξύνεται ἁπλᾶ ὄντα. ἔτι ἕκτωρ ἕκτορος, ὦ ἕκτορ οἷον.

Εκτορ ἐμὲ πριάμοιο διίφιλε μῆτιν ἀτάλαντε.

Αμύντωρ ἀμύντορος, ὦ ἀμύντορ. δότωρ δότορος, ὦ δότορ. Γρηγόριος

Παρθένιη μέγα χαῖρε. θεόσδοτε δῶτορ ἐάων. ἀπὸ τοῦ δότωρ καὶ τὸ ἔκτασιν. ὡς παρ' ἡσιόδῳ θεοὶ δωτῆρες ἐάων ἀπὸ τοῦ δωτήρ. μήτηρ μητέρος, ὦ μῆτερ. θυγάτηρ θυγατέρος, ὦ θύγατερ, εἰνάτηρ εἰνατέρος, ὦ εἰνάτερ, πλὴν τοῦ ἀνὴρ, ἀνέρος, ὦ ἄνερ. οἷς δὴ συμφέρεται, καὶ τῶν ὀξυτόνων πατὴρ ἀνὴρ δαὴρ σωτὴρ, καὶ γὰρ ὦ πάτερ, ἄνερ, δᾶερ, σῶτερ· καὶ ἀναβιβάζουσι τὸν τόνον, αἱ μὲν δισύλλαβοι κλητικαὶ εἰς τὴν παραλήγουσαν ἐξ ἀνάγκης ὦ πάτερ. αἱ δὲ τρισύλλαβοι εἰς τὴν προπαραλήγουσαν, ὦ δήμητερ, ὦ θύγατερ, ὦ εἴνατερ. ἔτι τὰ εἰς σ μετὰ διφθόγγου, ἢ μετὰ τοῦ ι, ἢ μετὰ τοῦ υ ψιλοῦ ἀποβολῇ τοῦ σ ποιεῖ τὴν κλητικήν. οἷον παῖς, ὦ παῖ. βοῦς, ὦ βοῦ, βασιλεὺς, ὦ βασιλεῦ. χαρίεις, ὦ χαρίεν. ὃ καὶ χαρίεν ποιεῖ (ὡς εἴρηται) πάρις ὦ πάρι. βότρυς, ὦ βότρυ, ἀμαρυλλὶς, ὦ ἀμαρυλλί. ὡσαύτως, καὶ τῶν ὀξυτόνων εἰς υς τριγενῶν ὄντων, ὁ ἡδύς, ὦ ἡδύ. πούς δὲ ὦ πούς, καὶ ὀδούς, ὦ ὀδούς, ὁμοφώνως, ἵνα μὴ συνεμπέσῃ τὸ μὲν τῷ ποῦ· τὸ δὲ τῷ ὀδοῦ. τὰ ἄλλα δὲ πάντα παρὰ τὰ εἰρημένα, τὴν αὐτὴν ἔχει εὐθείαν, καὶ κλητικήν. ἥρως, ὦ ἥρως. λάχης, ὦ λάχης. ἅλς, ὦ ἅλς. αἰθὴρ, ὦ αἰθήρ. οὕτω καὶ τὰ εἰς ων διὰ τοῦ ντ κλινόμενα φαέθων, φαέθοντος, ὦ φαέθων. λέων, λέοντος, ὦ λέων. ἔτι ἐλαιὼν, ὦ ἐλαιών. ξενοφῶν, ὦ ξενοφῶν. κύκλωψ, ὦ κύκλωψ. καὶ τὰ τοιαῦτα.

Περὶ τῆς δοτικῆς πληθυντικῆς τῶν περιττοσυλλάβων.

Πᾶσα δοτικὴ πληθυντικὴ τῶν περιττοσυλλάβων ἀπὸ τῆς δοτικῆς τῶν ἑνικῶν γίνεται εἰς σι λήγουσα ἤτοι ἐνεργείᾳ, ἢ δυνάμει. αἴαντι, αἴασι. φοίνικι, φοίνιξι διὸ, καὶ εἰ μὲν καθαρὸν εἴη τὸ τοῦ ἑνικοῦ ι, τὸ σ προσλαμβάνεται. ὄφει, ὄφεσι. δημοσθένει, δημοσθένεσι. ἔστι δ' οὗ καὶ τὸ υ, ὡς ἐφ' ὧν ἡ εὐθεία εἰς ους ἀπαθὲς ἢ εἰς ευς, βοῦς, βοΐ, βουσί. βασιλεὺς, βασιλεῖ, βασιλεῦσιν. εἰ δὲ μὴ καθαρόν. εἰ μὲν τὸ τ, ἢ τὸ δ, ἢ τὸ ν, ἢ τὸ θ, συνέζευκται τρέπεται εἰς σ, τὸ δὲ ν ἀποβάλλεται, ἐκεῖ τὸ πρὸ τοῦ τ. γέλωτι, γέλωσι. τριάδι, τριάσι. πλάτωνι, πλάτωσι. ὄρνιθι, ὄρνισι. αἴαντι, αἴασι. εἰ δὲ τὸ λ ἢ τὸ ρ φυλάττεται, τοῦ σ πάλιν προσληφθέντος, ἁλὶ, ἁλσὶ, καίσαρι, καίσαρσι. ἔστι δ' οὗ καὶ τὸ υ ψιλὸν, ἢ τὸ ι ἀντιλαμβάνεται. ἐφ' ὧν χρὴ ἐκτείνειν τὴν παραλήγουσαν προσθήκῃ φωνήεντος οἰκείως ἔχοντος προστεθεῖναι, εἰ τῶν εἰρημένων τῶν μὴ δυναμένων ἀκουσθῆναι συμφώνων, βραχυτέρα ἡ παραλήγουσα καταλίποιτο τῆς τῶν ἄλλων πτώσεων παραληγούσης, λέοντι, λέουσι. τυφθέντι, τυφθεῖσι. καὶ τὰ γὰρ τὴν παραλήγουσαν ἰσοχρονεῖν θέλει ταῖς ἄλλαις πλαγίαις ἡ τῶν πληθυντικῶν δοτική. τὰ μὲν εἰς ξ ἢ εἰς ψ λήγοντα ὀνόματα προσθέσει τοῦ ι ἐν τῇ εὐθείᾳ ποιεῖ τὴν τῶν πληθυντικῶν δοτικήν. φοῖνιξ, φοίνιξι. κύκλωψ, κύκλωψι, πλὴν τοῦ ἀλώπηξ, ἀλώπεξι γάρ. ὅτι τὰ εἰς ηξ θηλυκὰ οὐ φαίνεται παραληγόμενα τῷ ω. ἡ ἀλώπηξ δὲ διότι πα-

μικὸν δὲ τοῦτο καλεῖται. καὶ ἔστι τὸ μὲν ἀρσενικόν, υἱὸν ἢ υἱωνὸν τοῦ πρωτοτύπου σημαῖνον. τὸ δὲ θηλυκόν, θυγατέρα ἢ υἱωνήν. οἷον πριαμίδης. ὁ υἱὸς ἢ υἱωνὸς τοῦ πριάμου καὶ πριαμίς, ἡ θυγάτηρ ἢ υἱωνή, τοῦ πριάμου. καταχρηστικῶς δὲ, καὶ ἀπὸ μητρός. οἷον λητοΐδης, ὁ ἀπόλλων ὁ τῆς λητοῦς. καὶ ἀπὸ πάππου τοῦ πρὸς μητρός, οἷον ἀτλαντιάδης, ὁ ἑρμῆς, ὁ τῆς μαίας, τοῦ ἄτλαντος. ἐνίοτε δὲ καὶ ἀπὸ τῶν βασιλέων, ἢ κτιστῶν, οἷον αἰνεάδαι, καὶ ῥωμυλίδαι οἱ ῥωμαῖοι. ἔτι θησεΐδαι καὶ κεκροπίδαι, οἱ ἀθηναῖοι.

Περὶ τῶν ἀρσενικοῦ πατρωνυμικοῦ σχηματισμῶν.

Τοῦ μὲν ἀρσενικοῦ πατρωνυμικοῦ σχηματισμοὶ τοιοῦτοι. ὅσα μὲν εἰς ος καθαρὸν λήγει, τὸ ος εἰς αδης μεταβάλλοντα ποιεῖ τὸ πατρωνυμικόν, οἷον μενοίτιος, μενοιτιάδης. ἥλιος, ἡλιάδης. ὡσαύτως δὲ καὶ τὰ τῆς πρώτης κλίσεως τῶν ἰσοσυλλάβων τὸ ου τῆς γενικῆς εἰς αδης, αἰνείου αἰνειάδης. ἱππότου ἱπποτάδης. ἀγχίσου ἀγχισάδης, καὶ πλεονασμῷ τοῦ ι. ἀγχισιάδης. πάνθοος δὲ πανθοΐδης καὶ πανθοίδης κατὰ συναίρεσιν. ὅσα δὲ μή, εἰς ιδης. οἷον κρόνος, κρονίδης. πρίαμος, πριαμίδης. τοῖς δὲ μὲν κλίσεως οὖσι πέμπτης, ἀπὸ τῶν γενικῶν, ὁ σχηματισμὸς εἰς ιδης. οἷον πέλοψ, πελοπίδης, πηλέος κοινῶς πηλείδης καὶ πηλῆος, ἰωνικῶς πηληΐδης καὶ πλεονασμῷ τοῦ α, πηληϊάδης. Μῆνιν ἄειδε θεὰ πηληϊάδεω ἀχιλῆος. ἀντὶ τοῦ πηλείδου. ἔνθα δὴ καὶ συναίρεσις γίνεται ἐφ' ὧν δίφθογγος ει παραλήγει, οἷον πηλεΐδης, πηλείδης. καὶ σχηματισμὸς ἕτερος εἰς ων ἰώνων, οἷον πηλείων. ἔστι καὶ ἕτερον πατρωνυμικοῦ εἶδος καταχρηστικῶς εἰς διος, οἷον ὀξάδιος.

Περὶ τῶν θηλυκοῦ πατρωνυμικοῦ σχηματισμῶν.

Τοῦ δὲ θηλυκοῦ, τοιοῦτοι. ὅσα μὲν εἰς ας, ἢ εἰς ις, ἀπὸ τῶν ἰδίων ἀρσενικῶν, ἐκβολῇ τῆς δη σχηματίζεται. οἷον ἡλιάδης ἡλιάς. πριαμίδης, πριαμίς. πηλεΐδης ἀσυναιρέτως πηλεΐς, καὶ πηληΐδης ἰωνικῶς πηληΐς. ὅσα δὲ εἰς ινη ἰώνη καταχρηστικά. οἷον ἀδραστίνη, νηρίνη. ἀκρισιώνη, ἠετιώνη, αἰητίνη, ἡ ἐρίνη, ἀπὸ ἀδράστου νηρέος, ἀκρισίωνος ἠετίωνος, αἰήτου, ἥρωος. ὥστε οὕτω διχῶς ἂν εἴη τό, τε ἀρσενικόν, καὶ τὸ θηλυκόν.

Ἰστέον δὲ ὅτι τὰ εἰς νη πατρωνυμικά σχηματίζεται, ἀπὸ τῆς τοῦ πρωτοτύπου γενικῆς οὕτως. εἰ μὲν γὰρ ἡ τοῦ πρωτοτύπου γενικὴ διὰ τοῦ ι παραλήγῃ, μεταβολῇ τῆς τοῦ πρωτοτύπου ἐσχάτης συλλαβῆς εἰς ωνη γίνεται τὸ πα-

τρωνυμικόν, ὅπως μὴ δύο ἰῶτα ἐπαλλήλως λεγόμενα κακοφωνίαν ἀπεργάσηται. ἀκρισίου, ἀκρισιώνη. ἰκαρίου, ἰκαριώνη. ἰασίου, ἰασιώνη. εἰ δὲ διὰ τοῦ ε, τροπῇ τοῦ ε, εἰς ι καὶ τοῦ ος εἰς νη νηρέος, νηρίνη. θησέος, θησίνη. εἰ δὲ διὰ τοῦ ω, εἰ μὲν εἴη μέγα τροπῇ τοῦ ος, εἰς η μόνον ἠετίωνος, ἠετιώνη. πυγμαλίωνος, πυγμαλιώνη. εἰ δὲ μικρόν, τοῦ ονος εἰς ωνη, ἀμφίονος, ἀμφιώνη. πανδίονος, πανδιώνη. εἰ δὲ ἡ γενικὴ ἐσχάτῳ συλλαβῇ οὐ συμφώνῳ, μεταβολῇ τοῦ ου εἰς ινη, ἀδράστου ἀδραστίνη, ὠκεανοῦ, ὠκεανίνη. αἰήτου, αἰητίνη. Καὶ ἔστι τὰ μὲν ἀρσενικά, κλίσεως πρώτης. Τὰ δὲ θηλυκά, πέμπτης. οἷον. ὁ πριαμίδης, τοῦ πριαμίδου. ἡ πριαμίς, τῆς πριαμίδος.

Περὶ κτητικοῦ σχηματισμῶν.

Τὸ δὲ κτητικὸν ἀπὸ κυρίων, καὶ προσηγορικῶν παράγεται. εἰσὶ δὲ τούτου καταλήξεις τρεῖς. ος. οὗ παραλήξεις ἕξ. ι λόγιος. ε. ἑκτόρεος. ει ἀχίλλειος. αι ῥωμαῖος. οι. ἀλλοῖος. ω. ἰνῷος. κος, οὗ παραλήξεις, τρεῖς ι ἡρωϊκός. α κυπριακός. υ θηλυκός. δης, οὗ παράληξις μία. ω. ξυλώδης. Καὶ τὰ μὲν εἰς ειος, ἀπὸ τῶν εἰς ευς νηλεύς, νηλέος, νήλειος. ἀλλ' οὐ μόνον, ἀπὸ τοῦ ἀνθρώπου γάρ, τὸ ἀνθρώπειον. Τὰ δὲ εἰς κος, καὶ εἰς ωδης ἀπὸ τῶν εἰς ος. λόγος, λογικός. λίθος, λιθώδης. ἀλλ' οὐ μόνον, βασιλεὺς γάρ βασιλικός. γέα, γεώδης. Γραμματικοῦ δὴ κἀνταῦθα, μηδὲν ὑπὸ τοῦ ἀχρήστου παρακωλυόμενον, θέσθαι ἄμφω τὰ εἴδη, ἀφ' ἑκάστου τῶν εἰρημένων παράγεσθαι ὀνομάτων, ὡς γὰρ ἀπὸ τοῦ ἄνθρωπος, ἀνθρωπικὸς, καὶ ἀνθρώπειος, οὕτω καὶ ἀπὸ τοῦ ὅμηρος, ὁμηρικὸς, καὶ ὁμήρειος, καὶ ἀπὸ τοῦ αἴαντος, αἰαντικός, καὶ αἰάντειος. καὶ ἀπὸ τοῦ πλάτωνος, πλατωνικὸς, καὶ πλατώνειος.

Ἔνιοι δὲ καὶ τὰ παρωνύμως, ἀπὸ τόπου λεγόμενα κτητικά, οἰκειωματικὰ ὀνομάζουσιν, οἷον τὸ οὐράνιον, καὶ θαλάσσιον. καὶ τὰ ὅμοια. ὥς τε καὶ εἴη ἂν οὕτω τὰ κτητικὰ τριχῶς. ἢ γὰρ οἰκειωματικῶς. οὐράνιος. ἢ συνεκφαντικῶς, γραμματικός. ἢ μετουσιαστικῶς, λιθώδης.

Περὶ τοῦ συγκριτικοῦ, καὶ ὑπερθετικοῦ σχηματισμῶν.

Συγκριτικὸν δὲ, καὶ ὑπερθετικόν, ἀπὸ τῶν ἐπιθέτων τριγενῶν ὀνομάτων πλὴν τοῦ μᾶλλον ἐπίτασιν ἀναδεχομένων παράγεται, ὧν σχηματισμοὶ τοιοῦτοι. ὅσα μὲν γὰρ εἰς ος λήγει, ἐπενθέσει τοῦ μὲν τερο, συγκρι-

κοί, τὸ δὲ τατο, ὑπερθετικὸν γίνεται. καὶ εἰ μὲν βραχεῖα πρὸ τοῦ ο παραλήγει, διὰ τοῦ ω μεγάλου. εἰ δὲ ἤτοι φύσει, ἢ θέσει μακρά, διὰ τοῦ ο μικροῦ πρὸ τοῦ τερος, καὶ τατος γράφεται, οἷον παλαιός, παλαιότερος, παλαιότατος, ἔνδοξος, ἐνδοξότερος, ἐνδοξότατος. φρόνιμος, φρονιμώτερος, φρονιμώτατος. σύντομος, συντομώτερος, συντομώτατος. ὅσα δὲ εἰς ης, ἢ εἰς υς ἀπὸ τῶν οὐδετέρων προσθέσει τοῦ μὲν τερος συγκριτικά, τοῦ δὲ τατος ὑπερθετικὰ γίνεται, οἷον εὐγενής, εὐγενές, εὐγενέστερος, εὐγενέστατος. ἀληθής, ἀληθές, ἀληθέστερος, ἀληθέστατος. βραχύς, βραχύ, βραχύτερος, βραχύτατος. ταχύς, ταχύ, ταχύτερος, ταχύτατος. ὅσα δὲ εἰς ἄλλο τι, διὰ τοῦ εστερος. καὶ εστατος ὡς ἐπὶ τὸ πλεῖστον εἰς συγκριτικά, καὶ ὑπερθετικὰ μετασχηματίζεται, οἷον σώφρων, σώφρονος, σωφρονέστερος, σωφρονέστατος, χαρίεις, χαρίεντος, χαριέστερος, χαριέστατος. εὔνους δὲ καὶ ἁπλοῦς, χωρὶς τοῦ ε εὐνούστερος, εὐνούστατος, ἁπλούστερος, ἁπλούστατος. γίνεται δὲ συγκριτικὰ καὶ ἀπὸ ῥημάτων, οἷον φέρτερος, βέλτερος, καὶ ἀπὸ τῶν μετοχῶν, οἷον ἐρρωμενέστερος, καὶ ἀπὸ προθέσεων, οἷον ὑπέρτερος, καὶ ἀπὸ ἐπιρρημάτων, οἷον ἐσώτερος, πορρώτερος, ἀνώτερος.

Περὶ τῶν ἀνωμάλων.

Ἐξαιρείσθω δὴ ἐκ τῶν εἰρημένων, καλός, καλλίων, κάλλιστος. κακός, κακίων. ἢ χείρων, ὃ δὴ καὶ χέρων καὶ χερείων παρὰ ποιηταῖς λέγεται. κάκιστος. μέγας, μείζων, μέγιστος. μικρός, μείων, καὶ ἥσσων, ἢ ἥττων καὶ ἐλάσσων, ἢ ἐλάττων, ἐλάχιστος. ἐχθρός, ἐχθίων, ἔχθιστος. αἰσχρός, αἰσχίων, αἴσχιστος. ῥᾴδιος, ῥᾴων, ῥᾷστος. φίλος, φίλτερος, φίλτατος. ἀγαθός, βέλτερος, βελτίων, κρείττων, ἀμείνων, βέλτιστος, κράτιστος, ἄριστος. πολύς, πλείων, πλεῖστος. ἡδύς, ἡδίων, ἥδιστος. γλυκύς, γλυκίων, γλύκιστος. ὠκύς, ὠκίων, ὤκιστος. ταχύς, ταχίων, καὶ θάσσων, τάχιστος. παχύς, παχίων καὶ πάσσων, πάχιστος. βραδύς, βραδίων, καὶ βράσσων, βράδιστος. βραχύς, βραχίων, καὶ βράσσων, βράχιστος. Ἀνώμαλα δὲ τῶν εἰς υς ἄρα τὰ μὲν ἁπλοῦν τὸ συγκριτικόν, καὶ ὑπερθετικὸν ποιεῖται. ὡς τὸ εὐρύς. εὐρύτερος δὲ καὶ εὐρύτατος μόνον. τὰ δὲ διπλοῦν. ὡς τὸ ἡδύς, καὶ γλυκύς, καὶ ὠκύς, καὶ ἐχθρός, καὶ αἰσχρός. ἡδύτερος δὲ ἡδύτατος, καὶ ἡδίων ἥδιστος. γλυκύτερος, γλυκύτατος, καὶ γλυκίων γλύκιστος. ὠκύτερος, ὠκύτατος, καὶ ὠκίων, ὤκιστος. ἐχθρότερος, ἐχθρότατος. καὶ ἐχθίων ἔχθιστος. αἰσχρότερος, αἰσχρότατος, καὶ αἰσχίων, αἴσχιστος. Τὰ δὲ τὸ μὲν συγκριτικόν, τριπλοῦν, τὸ δὲ ὑπερθετικόν, διπλοῦν.

τὰ γὰρ εἰς σσων οὐκ ἔχει ὑπερθετικά, ὡς τὸ παχύς καὶ βραδύς. καὶ βραχύς. καὶ ταχύς. παχύτερος γὰρ παχύτατος, καὶ παχίων, πάχιστος, καὶ πάσσων. βραδύτερος, βραδύτατος, καὶ βραδίων, βράδιστος, καὶ βράσσων. βραχύτερος, βραχύτατος. καὶ βραχίων, βράχιστος, καὶ βράσσων. ὅτι καὶ ἀπὸ τοῦ βραδύς. ὡς εἴρηται. ταχύτερος, ταχύτατος. καὶ ταχίων, τάχιστος, καὶ θάσσων. Ἐκ δὴ τούτων τὰ εἰς ιων συγκριτικά, καὶ τὰ εἰς ιστος ὑπερθετικά, καίτοι ἀπὸ τῶν εἰς υς διὰ τοῦ υ ψιλοῦ παραγόμενα, ὅμως διὰ τοῦ ι παραλήγεται.

Περὶ συντάξεως συγκριτικοῦ τε, καὶ ὑπερθετικοῦ.

Συντάσσεται μέντοι ἄμφω γενικῇ διαφόρως. τὰ μὲν γὰρ συγκριτικὰ οὐ μόνον ἑνικοῦ, ἀλλὰ καὶ πληθυντικοῦ πρός τε ὁμοφυές, ἢ ὁμότεχνον, ἢ συγγενές, καὶ πρὸς ἑτερογενές. οἷον κικέρων, ὁρτησίου εὐφυέστερος. οὐεργίλιος αἰνίου σοφώτερος. Πομπήϊος ἥττων καίσαρος. Σκιπίων ἰσχυρότερος καρχηδονίων. Τὰ δὲ ὑπερθετικὰ πληθυντικοῦ μόνον, καὶ πρός τι τῶν ὁμοίων, καὶ συγγενῶν ἀεί. οἷον Καῖσαρ μὲν ῥωμαίων, Ἀχιλλεὺς δ' ἑλλήνων, Ἕκτωρ δὲ τρώων ἀνδρειότατος. ῥητόρων Τύλλιος μὲν λογιώτατος, δημοσθένης δὲ δεινότατος.

Περὶ ὑποκοριστικοῦ σχηματισμῶν.

Ὑποκοριστικὸν δὲ ἀπὸ κυρίων τε, καὶ προσηγορικῶν σχηματίζεται μείωσιν ἀσυγκρίτως δηλοῦν τοῦ πρωτοτύπου, καὶ τὸ μέν ἐστιν ἀρσενικόν. τὸ δὲ θηλυκόν. τὸ δὲ οὐδέτερον. Εἴδη δὲ τῶν μὲν ἀρσενικῶν ἕξ. εἰς ων δισυλλάβων βάκχων ὁ βακχυλίδης. εἰς ων παραλῆγον διὰ τοῦ ι μωρίων ὁ μωρός. εἰς αξ, ῥόδαξ, ὁ ῥόδιος, λίθαξ, ὁ λίθος. εἰς ας ζηνᾶς. μηνᾶς. εἰς κος ἀνθρωπίσκος. ὁ ἄνθρωπος. βασιλίσκος, ὁ βασιλεύς. βαρβαρίσκος, ὁ βάρβαρος. εἰς λος ναυτίλος, ὁ ναύτης. Τῶν δὲ θηλυκῶν τρία εἰς ων ὕψων, ἡ ὑψιπύλη. εἰς ις, θεραπαινίς. ἡ θεράπαινα. εἰς κη. παιδίσκη, ἡ παῖς. τῶν δὲ οὐδετέρων ἐν, εἰς ον. οὗ παραλήξεις, πολλαί. νι. ὀψώνιον, κι. μειράκιον. δρι. λογύδριον, λλι. μειρακύλλιον. φι. ζωΰφιον. χνι. πολύχνιον. πι. ἀντίον, τι. γερόντιον. δι. γραΐδιον, παιδίον. τῶν δ' αὐτῶν εἰδῶν ἐστι καὶ τὰ τῶν γυναικῶν εἰς ον ὀνόματα, οἷον γλυκέριον, χελιδόνιον, μουσάριον, μύρτιον, χρυσάριον, κλωνάριον, χρύσιον, φιλόρκιον, δόρκιον, σωφρόνιον, ἀβροτόνιον, καὶ ἄλλ'

ἅπερ πολλαχῶς χάριν, ἃ δὴ σύνταξιν τὴν αὐτὴν τοῖς θηλυκοῖς πρὸς τὰ ἐπίθετα ἔχει. Λουκιανὸς ἐν ἑταιρικοῖς περὶ Γλυκέρας, καὶ Θαΐδος· οὐκ οἶσθα, ὡς φαρμακὶς ἡ Χρυσάριον, ἡ μήτηρ αὐτῆς Θεσσαλάς τινας ᾠδὰς ἐπισταμένη, καὶ τὴν σελήνην κατάγουσα. φασὶ δὲ αὐτὴν, καὶ πέτεσθαι τῆς νυκτός· ἐκείνη ἐξέμηνε τὸν ἄνθρωπον πιεῖν τῶν φαρμάκων ἐγχέασα. Ἔτι περὶ Μυρτίου, καὶ Παμφίλου, καὶ Δωρίδος. Μὴ δ' οὕτω μανείη· ὡς ἐκλαθέσθαι Μυρτίον, καὶ ταῦτα, ἤδη μοι κυούσης παιδίον. Ἀλκίφρων ἑταιρικῶν ἐπιστολῶν. Γ´. τμήματος. β´. σὺ δὲ ἐκ τῶν ἀλώων δέ μοι Γλυκέριον εὐθὺς πετομένη πρὸς ἡμᾶς, ὑπὸ τῆς ἀστράβης φέρου.

Περὶ παρωνύμου σχηματισμῶν.

Παρώνυμον δὲ ἀφ' ἑκάστου τῶν ὀνομάτων παράγεται. ἀρσενικὸν μὲν φίλος, φιλῶν. θεός, θέων. ἄνθρωπος, ἀνθρωπίσκος. θηλυκὸν δέ. φιλότης, θεότης, φιλανθρωπία. οὐδέτερον δέ. ζῶον, ζωύφιον. μειράκιον, μειρακύλλιον. τριγενὲς δὲ ἄνθρωπος· ὁ, καὶ ἡ ἀνθρωπώδης· καὶ τὸ ἀνθρωπῶδες· καὶ ἀνθρώπινος, ἀνθρωπίνη· ἀνθρώπινον· καὶ ἀνθρωπικός· ἀνθρωπική· ἀνθρωπικόν· καὶ ἀνθρώπειος· ἀνθρωπεία· ἀνθρώπειον. ξύλον. ὁ καὶ ἡ ξυλώδης· καὶ τὸ ξυλῶδες· καὶ ξύλινος, ξυλίνη· ξύλινον. λόγος, λόγιος· λογία· λόγιον· καὶ λογικός· λογική· λογικόν. ἄνθος· ἄνθινος· ἀνθίνη· ἄνθινον· καὶ ἀνθηρός· ἀνθηρά· ἀνθηρόν.

Περὶ ῥηματικοῦ σχηματισμῶν.

Ῥηματικὸν δὲ, ὡς ἁπλῶς εἰπεῖν ἀπὸ τοῦ παθητικοῦ παρακειμένου ἤτοι πρώτου προσώπου, ἢ δευτέρου, ἢ τρίτου παράγεται. Τὰ μὲν οὖν πολλὰ τῶν ῥηματικῶν, ἀπὸ τοῦ πρώτου, πεποίημαι ποίημα· γέγραμμαι, γράμμα· ἔστεμμαι, στέμμα· σεσόφισμαι, σόφισμα· λελόγισμαι, λογισμός· νενόημαι, νοήμων· πεφίλημαι, φιλήμων. Τὰ δὲ εἰς ις θηλυκὰ, ἀπὸ τοῦ δευτέρου· λέλυσαι, λύσις· λέλεξαι, λέξις· πεποίησαι, ποίησις. Τὰ δὲ εἰς τος, καὶ τέος τριγενῆ, ἀπὸ τοῦ τρίτου· ἤκουσται, ἀκουστὸς, ἀκουστὴ, ἀκουστόν· τεθαύμασται, θαυμαστὸς, θαυμαστὴ, θαυμαστόν· τέτυπται, τυπτέος, τυπτέα, τυπτέον· λέλεκται, λεκτέος, λεκτέα, λεκτέον· ἐζήτηται, ζητητέος, ζητητέα, ζητητέον. Καὶ πρὸς τούτοις τὰ εἰς της ἀρσενικά· πεποίηται, ποιητής· σεσόφισται, σοφιστής· ᾤκηται,

οἰκητής· καὶ τὰ εἰς ηριον· προσηγορικά, πέποται, ποτήριον.

ΠΕΡΙ ἈΝΤΩΝΥΜΙΑΣ.

Ἀντωνυμία δὲ κατὰ τοὔνομα λέξις ἐστὶν ἀντὶ ὀνόματος παραλαμβανομένη, προσώπων ὡρισμένων δηλωτική. Τῶν γὰρ ὀνομάτων πρώτου, καὶ δευτέρου ἀμοιρούντων προσώπου, ἥδε πρόσεισι δυναμένη πᾶν πρόσωπον παρέχειν τοῖς ῥήμασιν εἰς λόγου τελείωσιν. εἴδη δὲ ταύτης, πέντε. πρωτότυπος· κτητική· δεικτική· ἀναφορική, ἔτι δὲ ἐπιταγματική· σύνθετος. λέγεται δὲ ἐπιταγματική, διὰ τὸ μετὰ πάσης δύνασθαι πρωτοτύπου ἀντωνυμίας δι' ὅλων πτώσεών τε, καὶ ἀριθμῶν συντάττεσθαι. οἷον ἐγὼ αὐτός, σὺ αὐτός. Ἔχει δὲ καὶ γένη, καὶ ἀριθμοὺς, καὶ πτώσεις, καὶ πρόσωπα παρεπόμενα.

Περὶ πρωτοτύπων.

Πρωτότυποι μὲν οὖν ἀντωνυμίαι τρεῖς εἰσιν· ἐγώ· σύ· ἵ, εἴτουν ὅς· ἀδιάκριτοι τὸ γένος. τούτων γὰρ αἱ μὲν τοῦ πρώτου προσώπου, καὶ τοῦ δευτέρου, συνήθεις εἰσὶ, καὶ γνώριμοι, ἥ τε ἐγὼ, καὶ ἡ σὺ, καὶ πτώσεις αὐτῶν. ἡ δὲ τοῦ τρίτου ἡ ἵ, εἴτουν ὅς, συνήθης οὖσα ποιηταῖς τε, καὶ ἀττικοῖς, ἀτριβὴς τῇ κοινῇ ἐστι. Λαμβάνονται δὲ ἀεὶ πρὸς ἀντιδιαστολὴν οὐχ αἱ εὐθεῖαι μόνον, ἡμεῖς εἴπομεν, καὶ οὐχ ἕτεροι, ἐγὼ γέγραφα, καὶ οὐχ ἕτερός τις, ἀλλὰ καὶ αἱ πλάγιαι. ἣν μὲν ὀρθοτονῶνται ἐμοῦ ἤκουσας, καὶ οὐκ ἄλλου. ἣν δὲ τὸ ἀρκτικὸν ἀποβάλλωσι φωνῆεν, ἀπολύτως λέγονται ἐγκλινόμεναι, ἤκουσάς μου· ἔδωκάς μοι· εὔφρανάς με. Ζητητέα δὲ ταῦτα ἐν βιβλίοις τοῖς παρ' ἡμῶν τετυπωμένοις· ἅτινα διὰ τὸ πάμπολλα περιέχεσθαι ἐν αὐτοῖς ἀναγκαῖά τε, καὶ ὠφέλιμα, κέρας Ἀμαλθείας, καὶ κῆποι Ἀδώνιδος ἐπωνομάσθη. ἐκεῖ γὰρ λίαν ἱκανῶς γέγραπται περὶ ἀντωνυμιῶν, καὶ ὅτε ἀπολελυμένως λεγόμεναι, ἐγείρουσι τὴν πρὸ αὐτῶν ὀξεῖαν, καὶ ὅτε κατὰ τὴν πρός τι ἕτερον διαστολὴν, ὀρθοτονοῦνται. Πᾶσαι δὲ πρωτότυποί τε ἀντωνυμίαι, καὶ δεικτικαὶ, καὶ ἀναφορικαὶ οὐκ ἐπιδέχονται ἄρθρον. παράγωγοί γε μὴν, αἱ καλούμεναι κτητικαὶ, ἐπιδέχονται. ὁ ἐμὸς παῖς. ὁ σὸς πατήρ. ἡ ἡμετέρα μήτηρ. διὸ τὰς ἀντωνυμίας τινὲς ἐξαιρέτως συνάρθρους, καὶ ἀσυνάρθρους ἐκάλεσαν. Ἀλλὰ περὶ τούτων, Ἀπολλώνιος ὁ δύσκολος, καὶ Θεόδωρος ὁ Γαζῆς ἔγραφον ἀκριβῶς. Κλίσεις δὲ τῶν

πρωτοτύπων θετικῶς αὗται.

Τοῦ πρώτου προσώπου.

Ἑνικαί, ἡ εὐθεῖα, ἐγὼ πλάτων. ἡ γενική, ἐμοῦ πλάτωνος. ἡ δοτική, ἐμοὶ πλάτωνι. ἡ αἰτιατική, ἐμὲ πλάτωνα. κλητικὴν τὸ πρῶτον πρόσωπον οὐκ ἔχει. ἐπειδὴ οὐδεὶς ἑαυτὸν καλεῖ. Δυϊκαί, ἡ εὐθεῖά τε, καὶ ἡ αἰτιατική, νῶϊ προπερισπωμένως, καὶ νώ, ὀξυτόνως πλάτωνε. ἡ γενική τε, καὶ δοτική, νῶϊν, καὶ νῷν πλατώνοιν. πληθυντικαί, ἡ εὐθεῖα ἡμεῖς, καὶ κατὰ διαίρεσιν, ἡμέες πλάτωνες. ἡ γενική, ἡμῶν, καὶ κατὰ διαίρεσιν, ἡμέων πλατώνων. ἡ δοτική, ἡμῖν πλάτωσι μόνως. ἡ αἰτιατική, ἡμεῖς, καὶ κατὰ διαίρεσιν ἡμέας πλάτωνας.

Τοῦ δευτέρου.

Ἑ. σὺ ἀριστοτέλης. σοῦ ἀριστοτέλους. σοὶ ἀριστοτέλει. σὲ ἀριστοτέλην, ὦ σὺ ἀριστότελες. Δ. σφῶϊ προπερισπωμένως, καὶ σφὼ ἀριστοτέλη ὀξυτόνως. σφῶϊν, βαρυτόνως, καὶ διὰ τοῦτο οὐκ ἐγκλίνεται. καὶ σφῷν ἀριστοτελοῖν προπερισπωμένως. ὦ σφῶϊ καὶ σφὼ ἀριστοτέλη. Γ. ὑμεῖς, καὶ κατὰ διαίρεσιν, ὑμέες ἀριστοτέλεις. ὑμῶν, καὶ κατὰ διαίρεσιν ὑμέων ἀριστοτελῶν. ὑμῖν ἀριστοτέλεσι μόνον. Ὑμᾶς, καὶ κατὰ διαίρεσιν ὑμέας ἀριστοτέλεις. ὦ ὑμεῖς, καὶ ὑμέες ἀριστοτέλεις.

Τοῦ τρίτου.

Ἑν. Ἷ, εἴτουν ὃς ἄλλος ἄχρηστον εἶναι τῆς εὐθείας, εἶναι δὲ τῶν ἄλλων πτώσεων, ἐν χρήσει, οὗ ἄλλου. οἷ ἄλλῳ. Ἓ ἄλλον. Δ. σφωέ, καὶ σφὲ ἄλλω ἐπὶ τῆς αἰτιατικῆς μόνον, διότι ἡ ὀρθὴ πτῶσις οὐδέποτε ἀναδίδωσι τὸν ἑαυτῆς τόνον, ὥσπερ νῶϊ σφῶϊ. τοῦτο δὲ ἀναδίδωσι. τοῦτον οὖν τὸν τρόπον ἀπέλειπεν ἡ εὐθεῖα σφωΐ, καὶ σφὶν ἄλλοιν ἔχουσαι εἶναι τῆς λιπούσης τὴν ὀξεῖαν. σημεῖον, ὅτι ἐγκλίνονται. ὅμηρος ἰλιάδος α.

Τίς τ' ἄρ σφωε θεῶν ἔριδι ξυνέηκε μάχεσθαι. Καὶ ἰλιάδος.
Ἀλλ' εἴπ' εἰς σφῶϊν καταλύσομεν ὠκέας ἵππους. Καὶ ἰλιάδος α.
Καί σφωϊν δὸς ἄγειν. Βαρύτονος γὰρ φύσει, οὐκ ἐγκλίνεται. Γ. Σφεῖς, καὶ διαιρέσει σφέες ἄλλοι. σφῶν, καὶ σφέων ἄλλων. Σφίσιν ἄλλοις μόνον. σφᾶς, καὶ σφέας ἄλλους. συντομώτερον δὲ κλιτέον ἐστί.

Τοῦ πρώτου προσώπου.

Ἑ. ἐγώ. ἐμοῦ. ἐμοί. ἐμέ. Δ. νώ. νῷν. Γ. ἡμεῖς. ἡμῶν. ἡμῖν. ἡμᾶς.

Τοῦ δευτέρου.

Ἑ. σύ. σοῦ. σοί. σέ. ὦ σύ. Δ. σφώ. σφῷν. ὦ σφώ. Γ. ὑμεῖς. ὑμῶν. ὑμῖν, ὑμᾶς, ὦ ὑμεῖς.

Τοῦ τρίτου.

Ἑ. ἵ, εἴτουν ὅς, οὗ, οἷ. ἕ. Δ. σφέ. σφίν. Γ. σφεῖς. σφῶν. σφίσι. σφᾶς.

Περὶ κτητικῶν.

Κτητικαὶ δὲ ἀπὸ τῶν πρωτοτύπων παραγόμεναι, ὀκτώ. ἐμός. σός. ἑός. νωΐτερος. σφωΐτερος. ἡμέτερος. ὑμέτερος. σφέτερος. Ὧν δὴ ἑκάστη τριγενῶς λέγεται, ἐμός. ἐμή. ἐμόν. νωΐτερος. νωϊτέρα. νωΐτερον. παράγονται δὲ τοῦτον τὸν τρόπον.

Ἑκάστης γε τῶν πρωτοτύπων τρεῖς ἐχούσης γενικὰς ἐφ' ἑκάστου δηλονότι τῶν ἀριθμῶν μίαν, ἑνικὴ μὲν ἡ ἐμοῦ, τῆς πρωτοπροσωπούσης ποιεῖ τὴν ἐμός. δυϊκὴ δὲ ἡ νῶϊ, καὶ νώ, τὴν νωΐτερος. πληθυντικὴ δὲ ἡ ἡμῶν, καὶ ἡμέων, τὴν ἡμέτερος. ὡσαύτως, ἑνικὴ μὲν ἡ σοῦ τῆς δευτεροπροσωπούσης, ποιεῖ τὴν σός. Δυϊκὴ δὲ ἡ σφῶϊν, καὶ σφῷν. τὴν σφωΐτερος. πληθυντικὴ δὲ ἡ ὑμῶν, καὶ ὑμέων, τὴν ὑμέτερος.

Παραπλησίως, ἑνικὴ μὲν ἡ οὗ τῆς τριτοπροσωπούσης ποιεῖ τὴν ἑός. πληθυντικὴ δὲ ἡ σφῶν, καὶ σφέων, τὴν σφέτερος. ἡ δὲ σφωῒν καὶ σφῷν δυϊκή, διὰ τὸ μόνον ἐγκλίνεσθαι, παράγωγον ἀντωνυμίαν οὐκ ἐποίησεν, αἱ γὰρ παράγωγοι ἀπὸ τῶν ἀνεγκλίτων εἰώθασι γίνεσθαι. οὐκ ἔτι δὲ ἀπὸ ἐγκλινομένων. κλίσεις δὲ τούτων, αὗται.

Τοῦ πρώτου προσώπου, ἀπὸ τῆς ἐμοῦ ἡ ἐμός.

Ἀρσενικαί.

Ἑ. ἐμός. ἐμοῦ. ἐμῷ. ἐμόν, ὦ ἐμός. Δ. ἐμώ. ἐμοῖν, ὦ ἐμώ. Γ. ἐμοί. ἐμῶν. ἐμοῖς, ἐμούς. ὦ ἐμοί.

Θηλυκαί.

Ἑ. ἐμή. ἐμῆς, ἐμῇ, ἐμήν, ὦ ἐμή. Δ. ἐμά. ἐμαῖν, ὦ ἐμά. Γ. ἐμαί. ἐμῶν, ἐμαῖς, ἐμάς. ὦ ἐμαί.

Οὐδέτεραι.

Ε. ἐμόν· ἐμοῦ, ἐμῷ, ἐμόν· ὦ ἐμόν. Δ. ἐμώ· ἐμοῖν, ὦ ἐμώ. Γ. ἐμά· ἐμῶν· ἐμοῖς, ἐμά, ὦ ἐμά.

Ἀπὸ τῆς νῶϊν, καὶ νῷν ἡ νωΐτερος.

Ἀρσενικαί.

Ε. νωΐτερος· νωϊτέρου· νωϊτέρῳ· νωΐτερον· ὦ νωΐτερε. Δ. νωϊτέρω, νωϊτέροιν· ὦ νωϊτέρω. Γ. νωΐτεροι· νωϊτέρων· νωϊτέροις· νωϊτέρους· ὦ νωΐτεροι.

Θηλυκαί.

Ε. νωϊτέρα, νωϊτέρας, νωϊτέρᾳ· νωϊτέραν, ὦ νωϊτέρα. Δ. νωϊτέρα, νωϊτέραιν, ὦ νωϊτέρα. Γ. νωΐτεραι, νωϊτέρων, νωϊτέραις, νωϊτέρας, ὦ νωΐτεραι.

Οὐδέτεραι.

Ε. νωΐτερον· νωϊτέρου· νωϊτέρῳ· νωΐτερον· ὦ νωΐτερον. Δ. νωϊτέρω, νωϊτέροιν· ὦ νωϊτέρω. Γ. νωΐτερα, νωϊτέρων, νωϊτέροις, νωΐτερα, ὦ νωΐτερα.

Ἀπὸ τῆς ἡμῶν, καὶ ἡμέων, ἡ ἡμέτερος.

Ἀρσενικαί.

Ε. ἡμέτερος· ἡμετέρου· ἡμετέρῳ· ἡμέτερον· ὦ ἡμέτερε. Δ. ἡμετέρω· ἡμετέροιν· ὦ ἡμετέρω. Γ. ἡμέτεροι· ἡμετέρων· ἡμετέροις· ἡμετέρους· ὦ ἡμέτεροι.

Θηλυκαί.

